# Η Θεια Λειτουργια

του εν Αγιοις Πατρος ημων Βασιλειου του Μεγαλου




# De Goddelijke Liturgie

van onze heilige vader Basilius de Grote

Grieks - naast - Nederlands

# Η Θεια Λειτουργια

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

# De Goddelijke Liturgie

van onze heilige vader Basilius de Grote

Grieks - naast - Nederlands

- parochie-gebruik -


uitgave Orthodox Klooster in de Peel

Geboorte van de Moeder Gods

Asten - Kerstvasten 2017

# ❖ Voorwoord ❖

Is het onmogelijk van Christus te beminnen buiten de Kerk? Ik weet dat deze vraag door velen gesteld wordt. Het antwoord is dat er zeker een mogelijkheid is om enkele aspecten van Christus te beminnen buiten de Kerk. Maar buiten de Kerk kan men Christus zelf niet beminnen. Er zijn mensen die houden van enkele woorden van Christus of Hem zien als een profeet of een wijze. Er zijn er zelfs die zich alleen maar interesseren in zijn menselijkheid en anderen die in Hem de wonderdoener zien. Maar Christus, de Zoon van God, is niet op de wereld gekomen om wonderen te verrichten, noch om kostbare leringen te houden, zelfs niet om de wereld te oordelen. Christus is gekomen om de wereld te redden!

Christus heeft Zijn Apostelen uitgezonden om gemeenschappen van gelovigen op te richten die op éénzelfde plaats samenkomen, waar ze allen samen Zijn aanwezigheid kunnen beleven en herbeleven, door deel te hebben aan Zijn kostbaar Lichaam en Bloed, zoals Hij het ons zelf heeft voorgedragen.

Hoe kunnen we Christus liefhebben en onverschillig blijven t.o.v. zijn uitnodiging? Het is in de Kerk dat Christus handelt. De Apostelen hebben lokale Kerken gesticht die samen de Universele Kerk van Christus vormen. Zonder de zichtbare Kerk, door God gesticht, kan geen enkele eenheid bestaan tussen de leden van een gemeenschap, die niet het Lichaam van Christus zou zijn, want het Lichaam van Christus, is Zijn Kerk, van dewelke Hij het hoofd is.

De eerste christelijke gemeenschappen werden gevestigd in steden die een zeker aanzien genoten en waar de universeel gebruikte taal van de beschaving **Grieks** was. Vanaf dat moment werd in deze taal de eerste christelijke prediking gedaan door de Apostelen van de Heer. Maar toen het christelijk geloof doordrong in het niet-gehelleniseerde landschap van het Oosten of werd geëxporteerd naar landen buiten het Romeinse Rijk, zoals Armenië, Georgië, Ethiopië, werden de dienaren van het Evangelie door omstandigheden genoodzaakt om de dialecten van deze verschillende volkeren te gebruiken en hen zo in te leiden in de christelijke leer en het gebed. Vanaf dat ogenblik begon men God ook te vereren **in het Latijn** in Afrika, in Gallië, in de landelijke kantons van Italië; **in het Koptisch** voor de Egyptische landgenoten; **in het Syrisch** voor de Syrische boeren en de inwoners van de kleine steden van de regio; **in het Armeens**, **Georgisch**, **Ethiopisch** en **Gotisch**. Later, toen het Oecumenisch Patriarchaat van Constantinopel het initiatief nam inzake de grote missionaire beweging die de Slavische volkeren zou moeten bekeren, werd dezelfde tactiek aangewend en werden de Heilige Boeken en liturgische teksten vertaald in het **Slavisch**.

In deze lijn hebben ook de Griekse kooplieden - die met de toestemming van het Oecumenisch Patriarchaat in 1752 in Amsterdam een orthodoxe parochie oprichtten – gezorgd voor de vertaling van de Goddelijke Liturgie van de Heilige Johannes Chrysostomos **in het Nederlands**. Zij waren van mening dat de rijkdom van de orthodoxe Liturgie toegankelijk diende te zijn voor de autochtonen, Nederlanders, met wie ze omgingen.

Later heeft Archimandriet Adriaan Korporaal zijn leven lang gewijd aan de vertaling van liturgische teksten van de orthodoxe traditie. Dit werk werd – zij het op een andere wijze – verdergezet door wijlen Moeder Maria, overste van het Orthodox Klooster van de Geboorte van de Moeder Gods te Asten. Ze wist ook samen te werken met Nederlanders, zoals o.m. Vader Hildo Bos. Wel was er op dat vlak nooit een samenwerking tussen Nederland en Vlaanderen. Uiteraard dat zowel Vlamingen als Nederlanders Nederlands spreken. Hun woordenschat en grammatica zijn nagenoeg identiek. Maar er zijn heel wat verschillen: men gebruikt bij de éne taalgroep woorden en uitdrukkingen die in het andere deel van het taalgebied onbekend zijn, wat exotisch klinken of een andere betekenis hebben. Die woorden, constructies en '*manieren van zeggen*' behoren alleen in het noordelijke of het zuidelijke deel van het taalgebied tot de standaardtaal, dat wil zeggen dat ze alleen daar algemeen bekend en bruikbaar zijn. Vaak zijn taalgebruikers zich niet bewust van de geografische gebruiksbeperking. De verschillen tussen het Nederlands in Nederland en het Nederlands in België hangen nauw samen met de geschiedenis van beide delen van het taalgebied. Het Nederlands dat honderd jaar geleden in België werd gesproken, was doorspekt met dialect en uit het Frans overgenomen woorden en wendingen. Door de verfransing van de burgerij waren veel Franse invloeden in het Vlaamse taalgebruik doorgedrongen.

In 2010 werd een Orthodoxe Bisschoppenconferentie voor de Benelux opgericht, die sindsdien ook een commissie heeft die zich moet bezighouden met de vertalingen van liturgische teksten en deze moet leiden tot een synodale goedkeuring. In afwachting van een goedgekeurde vertaling, zegenen wij voor het Nederlandse grondgebied de liturgische teksten vertaald door de betreurde Moeder Maria en haar medewerksters. Wij danken hen voor de tijd en energie die zij in dit nobel werk hebben geïnvesteerd en wij vragen aan God hen met genade te zegenen!

Te Brussel, in het Aartsbisdom, op 6 december 2017.

+ Athenagoras van België.

**Metropoliet Athenagoras van België**
Exarch van Nederland en Luxemburg

## ❖ Vooraf ❖

Deze vertaling is gemaakt uit de Griekse grondtekst. De uitgave is gebaseerd op de tekst van de Griekse uitgaven van *Apostoliki Diakonia*, Kerk van Griekenland-1981 en die van het klooster *Simono Petra*, uitgave 2001. Geringe afwijkingen gaan terug op de Liturgiestudie van N. Trebelas, gemaakt in 1935 voor de wetenschappelijke commissie van het Patriarchaat van Constantinopel: ΑΙ ΤΡΕΙΣ ΛΕΙΤΟΥΡΓΙΑΙ. Vanaf 1978 tot nu toe hebben zeer velen, door op- en aanmerkingen, meegeholpen aan het tot stand komen van deze uitgave. Dankbaar denk ik terug aan de hulp van Joh. M. Fountoulis(†), docent Liturgiek in Thessalonika. Met de Russische-orthodoxe parochie van de H. Nicolaas van Myra in Amsterdam is vanaf 2008 samengewerkt om tot een gezamenlijke vertaling te komen van de priesterteksten. In deze uitgave is (vrijwel) overeenstemming over de priesterteksten voorzover die overeenkomen met de Chrysostomus-liturgie.

Aan alle lezers en gebruikers van deze tekst vragen wij vergeving voor de onvolkomenheden. U allen vragen wij ons klooster te gedenken in uw gebeden en vooral bij de viering van het grote en heilige Mysterie van de Goddelijke Liturgie.

Abdis Maria (†) en medezusters

**Orthodox Klooster in de Peel - Asten - Kerstvasten 2017**

*voor meer informatie:*

+ Orthodox Klooster in de Peel +
Geboorte van de Moeder Gods
Gruttoweg 7, 5725 RT Asten
tel/fax (0031) 0493 - 560421
www.orthodoxasten.nl ;
e-mail: orthodoxasten@hetnet.nl

# ❖ Enkele opmerkingen ❖

Nummers[1] in de tekst verwijzen naar **noten** achterin het boekje, vaak betrekking hebbend op verschillen in gebruik tussen Grieks en Slavisch. Meestal gaan deze verschillen terug op verschillende handschriften. Daarin staan bij iedere handeling één of meer toepasselijke verzen uit de psalmen of de profeten. Waarschijnlijk bad men zoveel regels als nodig was om de tijd van een handeling te overbruggen. In de Slavische traditie worden vaak meer verzen of zelfs de hele psalm gelezen. Wetenschappers zien graag dat de *cursieve tekst* wordt weggelaten, omdat het om latere toevoegingen gaat.

| | | |
|---|---|---|
| Altaar | = | de Altaartafel; |
| altaar | = | de altaarruimte; |
| P | = | tekst van de priester; |
| D | = | tekst van de diaken, die de priester bidt wanneer hij zonder diaken dient. |
| p | = | tekst van de priester, die overgeslagen wordt als er geen diaken meedient. |
| d | = | tekst van de diaken, die overgeslagen wordt als er geen diaken meedient; |
| P + | = | de priester geeft de zegen. |

*In de rubrieken is weggelaten:*

a. Dat de diaken bij het aankleden zijn gewaden kust;
dat de priester zijn gewaden zegent en kust.

b. Dat de diaken iedere keer wanneer hij iets aan de priester geeft of iets van hem krijgt diens rechterhand kust.

c. Dat de diaken iedere keer wanneer hij een gebed zegt zijn oraar opheft, het vasthoudend met drie vingers van zijn rechterhand.

# Ακολουθια της Ιερας Προθεσεως

## Προετοιμασία τῶν Λειτουργῶν

*Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν Μυσταγγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων καὶ μὴ ἔχειν τι κατά τινος· καὶ καρδίαν δέ, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε μικρὸν ἀφ' ἑσπέρας καὶ ἐγρηγορηκῶς διάγειν μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ.*
*Τοῦ δὲ καιροῦ ἐπιστάντος ὁ ἱερεὺς καὶ ὁ διάκονος ἐξέρχονται τοῦ ἱεροῦ Βήματος καὶ ποιήσαντες μετάνοιαν πρὸ τοῦ ἀρχιερατικοῦ θρόνου, ἔρχονται ἔμπροσθεν τῆς Ὡραίας Πύλης καὶ προσκυνοῦσι τρὶς λέγοντες ἕκαστος καθ' ἑαυτόν:*

*Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.*

*Ὁ διάκονος·* Εὐλόγησον Δέσποτα.

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε·
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Ὁ Διάκονος·* Ἀμήν.

*Ὁ Ἱερεύς·* Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε,
τό Πνεῦμα τῆς ἀληθείας,
ὁ πανταχοῦ παρών καὶ τὰ πάντα πληρῶν,
ὁ θησαυρός τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός,
ἐλθέ καὶ σκήνωσον ἐν ἡμῖν,
καὶ καθάρισον ἡμᾶς ἀπό πάσης κηλίδος,
καὶ σῶσον, Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

*Ὁ Διάκονος·* Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς *(τρίς)*.

Δόξα... Καὶ νῦν...

# De Dienst van de Proskomidie

## De voorbereiding van de Liturgen

*De priester die de Goddelijke Liturgie gaat voltrekken, moet zich tevoren met iedereen verzoend hebben, en niets tegen iemand hebben. Met heel zijn kracht moet hij zijn hart behoeden tegen slechte gedachten.*
*De tijd vanaf de vooravond moet hij in onthouding doorbrengen en tot aan de Liturgie moet hij zeer waakzaam zijn. Wanneer de tijd gekomen is, maakt hij met de diaken voor de heilige deuren drie buigingen naar het Oosten. Zij kunnen hierbij zeggen:*

God, wees mij zondaar genadig.

d Zegen, heer.

P Gezegend is onze God, immer, nu en altijd
en in de eeuwen der eeuwen.

D Amen.

P Eer aan U, onze God, eer aan U.[1]

Hemelse Koning, Trooster,
Geest der waarheid,
Die alom tegenwoordig zijt en alles vervult,
Schatkamer van het goede,
en Schenker van het leven,
kom en verblijf in ons, reinig ons van alle smet,
en red onze zielen, o Goede.

D Heilige God, heilige Sterke, heilige Onsterfelijke,
ontferm U over ons. *(3x)*

Eer aan de Vader, de Zoon en de Heilige Geest,
nu en altijd, en in de eeuwen der eeuwen. Amen.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.
Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.
Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.
Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν,
ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον *(ἐκ τρίτου)*

Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου
ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*Ὁ Ἱερεύς·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Ὁ Διάκονος·* Ἀμήν.

*Εἶτα λέγουσι τὰ τροπάρια ταῦτα μετὰ κατανύξεως.*

*Ὁ Ἱερεύς·* Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Alheilige Drie-eenheid, ontferm U over ons;
Heer, wis onze zonden uit,
Meester, vergeef ons onze ongerechtigheden,
Heilige, bezoek ons en genees onze zwakheden
omwille van Uw Naam.
Heer, ontferm U. *(3x)*

Eer aan de Vader, de Zoon en de Heilige Geest,
nu en altijd, en in de eeuwen der eeuwen. Amen.

Onze Vader, Die in de hemelen zijt,
Uw Naam worde geheiligd,
Uw Koninkrijk kome,
Uw wil geschiede, zoals in de hemel zo ook op aarde,
geef ons heden ons dagelijks brood
en vergeef ons onze schulden,
zoals ook wij onze schuldenaren vergeven,
en leid ons niet in verzoeking,
maar verlos ons van de boze.

P Want van U is het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon en de Heilige Geest,
nu en altijd, en in de eeuwen der eeuwen.
D Amen.

P Ontferm U over ons, o Heer, ontferm U over ons.
Omdat wij van alle rechtvaardiging verstoken zijn,
bieden wij, zondaars, U, Meester, dit smeekgebed aan:
ontferm U over ons.

*Ὁ Διάκονος·* Δόξα Πατρί...

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Ὁ Ἱερεύς·* Καὶ νῦν...

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

*Τούτου δὲ λεγομένου ἀνοίγεται τὸ καταπέτασμα τῆς Ὡραίας Πύλης.*

*Εἶτα προσκυνοῦσι τὰς ἁγίας εἰκόνας, καὶ εἰς μὲν τὴν εἰκόνα τοῦ Χριστοῦ λέγουσι:*

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ ἵνα ρύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

D Eer ...

Heer, ontferm U over ons, want op U vertrouwen wij. Wees niet te zeer op ons vertoornd, en wees onze overtredingen niet indachtig, maar zie ook nu op ons neer als Barmhartige en verlos ons van onze vijanden: want Gij zijt onze God, en wij zijn Uw volk, allen zijn wij het werk van Uw handen, en Uw Naam roepen wij aan.

P Nu en ...
Open voor ons de poort der barmhartigheid, gezegende Moeder Gods. Laat ons, die op u hopen niet afdwalen. Mogen wij door u uit de gevaren bevrijd worden: want gij zijt de redding van het volk der christenen.

*Terwijl ondertussen het voorhangsel wordt geopend.*

*Zij vereren de Christus-ikoon en zeggen ieder voor zich:*

Wij vereren Uw reine ikoon, o Goede, en wij vragen vergeving van onze zonden, Christus God. Het behaagde U immers om vrijwillig in het vlees het kruis te bestijgen, om Uw schepselen te verlossen uit de slavernij van de vijand. Daarom roepen wij U dankbaar toe: Gij hebt alles met vreugde vervuld, onze Redder, Die gekomen zijt om de wereld te redden.

*Εἰς δὲ τὴν εἰκόνα τῆς Θεοτόκου λέγουσι·*

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες τὸ Χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

*Εἰς δὲ τὴν τοῦ Προδρόμου λέγουσι·*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ ὁ ἱερεὺς κλίνας τήν κεφαλήν ἀσκεπὴς λέγει τὴν εὐχήν·*

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἱερεύς·* Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου· ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ Διάκονος·* Ἀμήν.

*Zij vereren de Moeder-Gods-ikoon*

Gij, die de bron zijt der Barmhartigheid, acht ons uw medelijden waardig, Moeder Gods. Zie neer op het volk dat gezondigd heeft, toon zoals altijd uw macht. Want op u hopend roepen wij u het "Verheug u" toe, zoals eens Gabriël, de aanvoerder der onlichamelijken.[2]

*Zij vereren de ikoon van de H. Johannes de voorloper*

De gedachtenis van een rechtvaardige wordt gevierd met hymnen, maar u volstaat het getuigenis des Heren, o Voorloper. Want gij toonde u waarlijk eerbiedwaardiger dan de profeten, omdat gij Hem die gij predikte mocht dopen in de wateren. En nadat gij geleden had voor de waarheid, hebt gij vol vreugde de blijde boodschap gebracht aan hen in de hades, dat God in het vlees is verschenen, Die de zonde der wereld wegneemt en ons de grote genade verleent.

*Na het vereren gaan ze met gebogen, onbedekt hoofd voor de heilige deuren staan*

d Laat ons bidden tot de Heer.

P Heer, strek Uw hand uit vanuit Uw woning in den hoge en sterk mij voor het dienstwerk, dat ik voor U ga verrichten, opdat ik zonder veroordeling voor Uw ontzagwekkend Altaar treed om de onbloedige eredienst te voltrekken. Want van U is de kracht en de heerlijkheid, in de eeuwen der eeuwen.

D Amen.

*Καὶ ὁ ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν.*

*Ὁ Ἱερεύς·Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.*
*Ὁ Διάκονος· Δόξα... Καὶ νῦν... Κύριε ἐλέησον (γ΄), Δέσποτα, ἅγιε, εὐλόγησον.*
*Ὁ Ἱερεύς· (...) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου... (τῆς ἡμέρας), τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρίας τοῦ Μεγάλου, τοῦ ἁγίου... (τοῦ Ναοῦ), καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.*
*Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.*
*Ὁ Διάκονος· Ἀμήν.*

*Στραφέντες πρὸς δυσμᾶς καὶ ὑποκλίναντες ἀμφότεροι τὴν κεφαλὴν πρὸς τὸν λαόν, εἰσέρχονται εἰς τὸ θυσιαστήριον λέγοντες ἕκαστος:*

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

*Καὶ προσκυνήσαντες τρὶς πρὸ τῆς ἁγίας Τραπέζης, ἀσπάζονται ὁ μὲν ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν, ὁ δὲ διάκονος τὴν ἁγίαν Τράπεζαν. Εἶτα λαμβάνει ἕκαστος τὰ ἱερὰ αὐτοῦ ἄμφια καὶ προσκυνεῖ τρὶς κατὰ ἀνατολὰς λέγων τὸ*

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

*Eventueel een kleine wegzending:* [3]

*P* *Eer aan U ..*
*D* *Eer ... Nu en.. Heer, ontferm U (3x)*
*Vader zegen.*
*P* *Dat Christus onze waarachtige God ...*
*D* *Amen*

*P* *Door de gebeden ...*
*D* *Amen*

*Zij maken een buiging voor het volk en gaan het altaar in* [4] *zeggend*

Ik zal binnentreden in Uw huis, ik zal mij buigen voor Uw heilige tempel in vreze voor U.[5]

*Binnengekomen in het altaar maken zij drie buigingen voor het heilig Altaar. De priester kust het Evangelie en het Altaar,*
*de diaken alleen de rechterhoek van het Altaar.*
*Ieder neemt zijn gewaden, buigt drie maal richting oost, bij zichzelf zeggend:*

God, wees mij zondaar genadig en ontferm U over mij.

*Εἶτα ὁ διάκονος προσέρχεται τῷ ἱερεῖ κρατῶν τὸ στιχάριον, τὸ ὀράριον καὶ τὰ ἐπιμανίκια καὶ λέγει:*

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὸ στιχάριον σὺν τῷ ὀραρίῳ.

*Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὰ λέγει:*

*Ὁ ἱερεύς·* + Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ ἀσπαζόμενος ὁ διάκονος τὴν δεξιὰν τοῦ ἱερέως, ὑποχωρεῖ εἰς τὸ διακονικὸν καὶ ἐνδύεται τὸ στιχάριον, λέγων:*

*Ὁ διάκονος·* Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

*Καὶ τὸ μὲν ὀράριον ἀσπασάμενος ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ· ἐπιθέμενος δὲ ταῖς χερσὶν αὐτοῦ τὰ ἐπιμάνικα.*
*Καὶ ἐν μὲν τῷ δεξιῷ λέγει:*

*Ὁ Διάκονος·* Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

*Ἐν δὲ τῷ ἀριστερῷ λέγει:*

*Ὁ διάκονος·* Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

*Εἶτα ὁ διάκονος ἀπελθὼν ἐν τῇ ἱερᾷ Προθέσει εὐτρεπίζει τὰ ἱερὰ σκεύη. Καὶ θέτει τὸν μὲν ἅγιον Δίσκον ἐν τῷ ἀριστερῷ μέρει, τὸ δὲ ἅγιον Ποτήριον ἐν τῷ δεξιῷ. Καὶ τὰ ἄλλα σὺν αὐτοῖς.*

*Dan gaat de diaken naar de priester met zijn stichaar en oraar, en zegt met gebogen hoofd*

d Zegen, heer, het stichaar met het oraar.

p + Gezegend is onze God, immer, nu en altijd
en in de eeuwen der eeuwen. Amen.

*Dan trekt de diaken zich terug naar een kant van het altaar en doet zijn stichaar aan.*

d Mijn ziel verheugt zich in de Heer, want Hij heeft mij een kleed van verlossing aangedaan en mij bekleed met een gewaad van vreugde; Hij heeft mij als een bruidegom een kroon opgezet, en als een bruid met sieraden getooid.

*Dan kust hij zijn oraar en bevestigt het op zijn linkerschouder.*
*Ook doet hij zijn manchetten aan.*
*Bij de rechter zegt hij*

d Uw rechterhand, Heer, is verheerlijkt door kracht.
Uw rechterhand, Heer, verpletterde de vijanden.
Door de overvloed van Uw heerlijkheid
hebt Gij de tegenstanders verbrijzeld.

*Bij de linker zegt hij*

d Uw handen hebben mij geschapen en gevormd,
geef mij inzicht en ik zal Uw geboden leren.

*Dan gaat hij de proskomidietafel voorbereiden. De heilige **diskos** zet hij links, de heilige **kelk** rechts. De **velums** legt hij opgevouwen terzijde met de **ster** erop. Hij controleert de **lans**, de **prosforen**, de **wijn** en het **water**, en steekt een **kaars** aan.*

*Ὁ δὲ **ἱερεὺς** σφραγίσας τὸ **στιχάριον** αὐτοῦ, λέγει·*

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ Ἱερεύς·* Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

*Εἰς τὸ **ἐπιτραχήλιον**·*
*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ· ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

*Εἰς τὴν **ζώνην**·*
*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

*Εἰς τὰ **ἐπιμάνικα**. Καὶ ἐν μὲν τῷ **δεξιῷ** λέγει·*
*Ὁ Ἱερεύς·* Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

*Ἐν δὲ τῷ **ἀριστερῷ** λέγει·*
*Ὁ Ἱερεύς·* Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

*De **priester** neemt zijn **stichaar** in de linkerhand, zegent het en zegt*

P + Gezegend is onze God, immer, nu en altijd
en in de eeuwen der eeuwen. Amen.

*Hij trekt het aan:*

P Mijn ziel verheugt zich in de Heer, want Hij heeft mij een kleed van verlossing aangedaan en mij bekleed met een gewaad van vreugde; Hij heeft mij als een bruidegom een kroon opgezet, en als een bruid met sieraden getooid.

*Bij het **epitrachiel***

P + Gezegend is God, Die Zijn genade uitstort over Zijn priesters: als myron over het hoofd, die afvloeit over de baard, de baard van Aäron; die afvloeit over de zoom van zijn gewaad.

*Bij de **gordel***

P + Gezegend is God, Die mij met kracht omgordt, Die mijn weg onbevlekt heeft gemaakt.[6]

*Bij de **rechtermanchet***

P + Uw rechterhand, Heer, is verheerlijkt door kracht.
Uw rechterhand, Heer, verpletterde de vijanden.
Door de overvloed van Uw heerlijkheid
hebt Gij de tegenstanders verbrijzeld.

*Bij de **linkermanchet***

P + Uw handen hebben mij geschapen en gevormd,
geef mij inzicht en ik zal Uw geboden leren.

*Εἰς τὸ* ***ἐπιγονάτιον****, εἴπερ ἔχει:*

*Ὁ Ἱερεύς·* Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, Δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου: καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε, ἕνεκεν ἀληθείας καί πρᾳότητος καί δικαιοσύνης· καί ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

*Εἰς τὸ* ***φελόνιον****:*

*Ὁ Ἱερεύς·* Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

*Εἶτα ἀπελθόντες εἰς τὸ χωνευτήριον νίπτουσι τὰς χεῖρας λέγοντες ἕκαστος κατ᾽ ἰδίαν τὸν ψαλμόν:*

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. *Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.*

*Indien hij toestemming heeft een **zwaard** te dragen*

P + Gord uw zwaard aan uw heup, o Machtige, in uw pracht en uw schoonheid. Span u in, trek voorspoedig voort en heers omwille van waarheid, zachtmoedigheid en recht en uw rechterhand zal u wonderbaar leiden.[7]

*Bij het **feloon***

P + Uw priesters, Heer, zullen zich bekleden met gerechtigheid en Uw heiligen zullen zich vol vreugde verheugen.

*Hierna wassen zij hun handen:*

D/P Ik was mijn handen in onschuld, Heer, en ik zal rond Uw Altaar gaan om de klank van Uw lofzang te horen, om al Uw wonderen te verhalen. Heer, ik bemin de luister van Uw huis en de verblijfplaats van Uw heerlijkheid.[8] *Verderf mijn ziel niet met goddelozen, noch mijn leven met mannen des bloeds, in wier handen ongerechtigheden zijn; hun rechterhand is gevuld met geschenken. Maar ik heb in onschuld gewandeld; verlos mij, Heer, en ontferm U over mij. Mijn voet heeft het rechte pad betreden; in de kerken zal ik U zegenen, Heer.*

## Προσκομιδή

*Εἶτα προσκυνοῦσι τρὶς ἔμπροσθεν τῆς Προθέσεως λέγοντες καθ' ἑαυτούς:* Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με *(ἐκ τρίτου)*.

*Καὶ λαβὼν ὁ ἱερεὺς τὴν προσφορὰν καὶ τὴν ἁγίαν λόγχην ὑψώνει αὐτὴν μέχρι τοῦ μετώπου του, λέγων:*

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις· Σωτὴρ ἡμῶν δόξα σοι.

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα.

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ὁ ἱερεὺς λαβὼν τὴν προσφορὰν καὶ σφραγίζων μετὰ τῆς ἁγίας λόγχης τρίς, λέγει:*

*Ὁ Ἱερεύς·* Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· *(τρίς)*

*Καὶ πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος καὶ ἀνατέμνει.*

*Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἀνατομῇ λέγει:*

Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἱερεύς·* Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

## De voorbereiding van de Gaven

*Zij buigen driemaal voor de proskomidie:* [9]
God, wees mij zondaar genadig en ontferm u over mij. *(3x)*

*De priester legt de heilige lans op de prosfoor en heft deze op tot aan zijn voorhoofd:*

P Gij hebt ons vrijgekocht van de vloek der wet door Uw kostbaar bloed. Vastgenageld aan het kruis en doorstoken met de lans hebt Gij de onsterfelijkheid doen opwellen voor de mensen: onze Redder, eer aan U.

d Zegen, heer.

P Gezegend is onze God, immer, nu en altijd,
en in de eeuwen der eeuwen. Amen.

*De priester neemt de eerste prosfoor in zijn linkerhand, de lans in zijn rechter en met de lans bekruist hij driemaal het zegel*

P Ter gedachtenis van onze Heer, God en Redder Jezus Christus. *(3x)*

*Hij steekt met de lans in de rechterzijde van het Lam en snijdt langs de zijkant (langs I-N).* [10]

*Bij iedere snede zegt de diaken*
d Laat ons bidden tot de Heer.

P Als een schaap werd Hij ter slachting geleid.

*Ἐν δὲ τῷ ἀριστερῷ μέρει·*

Καὶ ὡς ἀμνὸς ἄμωμος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

*Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος λέγει·*

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

*Ἐν δὲ τῷ κάτω μέρει·*

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

*Ὁ διάκονος·* Ἔπαρον, δέσποτα.

*Καὶ ὁ ἱερεὺς αἴρει τὸν Ἀμνὸν λέγων·*

*Ὁ Ἱερεύς·* Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

*Καὶ τίθησιν τὸν Ἀμνὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ.*

*Ὁ διάκονος·* Θῦσον, δέσποτα.

*Ὁ ἱερεὺς θύει αὐτὸν σταυροειδῶς, λέγων·*

*Ὁ Ἱερεύς·* Θύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

*Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν Σταυρόν.*

*Ὁ διάκονος·* Νῦξον, δέσποτα.

*Νύττει ὁ ἱερεὺς τὸν Ἀμνὸν διὰ τῆς λόγχης ἐν τῷ δεξιῷ μέρει, ἐπιλέγων·*

*Ὁ Ἱερεύς·* Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

*En langs de linkerzijde van het Lam*

P En als een vlekkeloos lam, stom voor zijn scheerder, zo deed Hij Zijn mond niet open.

*en langs de bovenzijde*

P In Zijn vernedering werd Hem een rechtvaardig oordeel ontzegd.

*en langs de onderzijde*

P Wie zal Zijn afkomst verhalen?

d Neem weg, heer.

*De priester steekt de lans van rechtsaf naar onderen om het Lam los te snijden*

P Want Zijn leven wordt van de aarde weggenomen.

*Hij legt het Lam ondersteboven op de heilige diskos.*

d Slacht, heer.

*en de priester slacht door het in kruisvorm in te snijden*

P Geslacht wordt het Lam Gods, Dat de zonde van de wereld wegneemt, voor het leven en de redding van de wereld.[11]

*En hij draait het Lam weer om met het zegel boven.*

d Doorsteek, heer.

*De priester steekt met de lans in de rechterzijde van het Lam, vlak boven de letter N.*

P Een van de soldaten doorstak Zijn zijde met een lans en terstond vloeide er bloed en water uit. Hij die het gezien heeft, getuigde ervan en zijn getuigenis is waarachtig.

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ἕνωσιν.

*Ὁ δὲ διάκονος ἐγχέων τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος τὸ ἀρκοῦν.*

*Καὶ ὁ ἱερεὺς εὐλογῶν λέγει:*

*Ὁ Ἱερεύς·* + Εὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ ἱερεὺς λαβὼν ἐν ταῖς χερσὶ τὴν αὐτὴν ἢ δευτέραν προσφορὰν, λέγει·*

*Ὁ Ἱερεύς·* Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι Κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.

*Καὶ, αἴρων τὴν μερίδα τῆς Θεοτόκου, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου Ἄρτου, λέγων·*

*Ὁ Ἱερεύς·* Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

*De diaken neemt het kannetje met wijn in de rechterhand en dat met water in de linkerhand,*

d Zegen, heer, de heilige eenheid.

*en hij giet voldoende wijn en water in de heilige kelk.*

P + Gezegend is de heilige eenheid, immer, nu en altijd,
en in de eeuwen der eeuwen. Amen.






*De priester neemt dezelfde of een tweede prosfoor.*

P Ter ere en gedachtenis van onze hooggezegende glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria: Neem, Heer, door haar voorspraak dit offer aan op Uw hemels Altaar.

*Hij snijdt een driehoekig deeltje uit voor de Moeder Gods, dat hij rechts van het Lam op de heilige diskos legt.*[12]

P De koningin staat aan Uw rechterhand,
gehuld in een veelkleurig gewaad van goudbrokaat.

*Εἶτα λαβὼν ἐκ τῆς ἰδίας ἢ τρίτης προσφορᾶς σφραγῖδα καὶ αἴρων ἐξ αὐτῆς μερίδα, τίθησιν ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου Ἄρτου, λέγων·*

1. Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων ἀσωμάτων.

*Εἶτα αἴρων τὰς ἀναλόγους μερίδας λέγει·*

2. Τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων προφητῶν Μωϋσέως καὶ Ἀαρών, Ἠλιοῦ, Ἐλισσαίου, Δαβὶδ καὶ Ἰεσσαί· τῶν ἁγίων τριῶν Παίδων καὶ Δανιὴλ τοῦ προφήτου καὶ πάντων τῶν ἁγίων προφητῶν.

3. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου, τῶν Δώδεκα καὶ τῶν Ἑβδομήκοντα καὶ πάντων τῶν ἁγίων ἀποστόλων.

4. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν.

5. Τοῦ ἁγίου ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων μεγάλων μαρτύρων Δημητρίου, Γεωργίου, Θεοδώρου Τήρωνος καὶ τοῦ Στρατηλάτου· τῶν ἁγίων μαρτύρων γυναικῶν Θέκλης, Βαρβάρας, Αἰκατερίνης, Εὐφημίας καὶ πάντων καὶ πασῶν τῶν ἁγίων μαρτύρων.

*Nu neemt hij uit dezelfde of een derde prosfoor negen deeltjes, die hij links van het Lam legt.* [13]

1. Ter ere en gedachtenis van de grote aanvoerders Michaël en Gabriël en al de hemelse onlichamelijke machten.

2. Van de geëerde, roemrijke profeet, voorloper en doper Johannes. Van de heilige roemrijke profeten Mozes en Aäron, Elia en Eliza, David en Jesse, de heilige drie jongelingen en de profeet Daniël en alle heilige profeten.

3. Van de heilige roemrijke en alomgeprezen apostelen Petrus en Paulus, de twaalf en de zeventig en alle heilige apostelen.

4. Van onze heilige vaders, de grote hiërarchen en oecumenische leraren: Basilius de Grote, Gregorius de Theoloog en Johannes Chrysostomus; Athanasius en Cyrillus, Nicolaas van Myra en alle heilige hiërarchen.

5. Van de heilige eerste martelaar en aartsdiaken Stefanus, de heilige grootmartelaren Dimitrius en Georgius, Theodorus Tiron, Theodorus de Stratilaat en alle heilige martelaren.[14] Van de heilige martelaressen: Thecla, Barbara, Kyriake, Eufemia, Paraskeva en Catherina en alle heilige martelaressen.

6. Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν Ἄθῳ, τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας καὶ πάντων καὶ πασῶν τῶν ὁσίων.

7. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου καὶ πάντων τῶν ἁγίων ἀναργύρων.

8. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου *(τῆς ἡμέρας)*, καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

9. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρίας τοῦ Μεγάλου.

*Εἶτα ἐξάγων μερίδας λέγει·*

Μνήσθητι, Δέσποτα φιλάνθρωπε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τοῦ ἀρχιεπισκόπου ἡμῶν *(Ἀθηναγόρου)*, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος, τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν διὰ τῆς σῆς εὐσπλαγχνίας Πανάγαθε Δέσποτα.

*Καὶ αἴρων μερίδα τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου Ἄρτου. Καὶ μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἴ περ ἐστιν ἐν τοῖς ζῶσιν, καὶ ἑτέρων ὧν ἔχει ζώντων κατ' ὄνομα· καὶ οὕτως αἴρων τίθησι τὰς μερίδας ὑποκάτω.*

6. Van onze gewijde Goddragende vaders: Antonius en Euthymius, Sabbas, Onufrius, Athanasius van de Athos en alle heilige monniken. Van de heilige moeders: Pelagia, Anastasia, Maria van Egypte en Theodora en alle heilige monialen.

7. Van de heilige wonderdoende onbaatzuchtige artsen: Cosmas en Damianus, Cyrus en Johannes, Panteleimon en Hermolaüs en alle heilige onbaatzuchtigen.

8. Van de heilige rechtvaardige voorouders des Heren Joachim en Anna, van de heilige *(v.d. dag)* en van alle heiligen. Bezoek ons, o God, omwille van hun gebeden.

9. Van onze heilige vader Basilius de Grote, aartsbisschop van Ceasarea.

*Hierna neemt hij dezelfde of een vierde prosfoor*

Gedenk menslievende Heer, alle orthodoxe bisschoppen, onze aartsbisschop *(Athenagoras)*, de eerbiedwaardige priesters, de diakens in Christus, alle geestelijken, de concelebranten en al onze broeders die Gij, algoede Heer, door Uw barmhartigheid tot gemeenschap met U geroepen hebt.

*Hij snijdt een deeltje weg dat hij onder het Lam legt.*
*Dan gedenkt hij de bisschop die hem gewijd heeft (zo deze nog leeft) en wie hij verder gedenken wil van de levenden.*

*Λαβὼν δὲ τὴν αὐτὴν ἢ ἑτέραν προσφορὰν, αἴρει μερίδα, λέγει·*

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας *(ἢ τῆς ἁγίας Μονῆς)* ταύτης.

*Εἶτα μνημονεύει καὶ ἑτέρων ὧν ἔχει κεκοιμημένων κατ' ὄνομα καὶ τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ οὐκ ἔστιν ἐν τοῖς ζῶσιν. Τελευταῖον δὲ ἐπιλέγει·*

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου τῶν τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

*Καὶ αἴρων τίθησι τὰς μερίδας τῶν ὧνπερ μνημονεύει. Ὡσαύτως δὲ καὶ ὁ διάκονος μνημονεύει ὧν θέλει ζώντων καὶ τεθνεώτων, τοῦ ἱερέως αἴροντος καὶ ὑπὲρ αὐτῶν μερίδας. Τελευταῖον δὲ λέγει ὁ Ἱερεύς·* Μνήσθητι Κύριε καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

*Καὶ λαβὼν τὴν μοῦσαν, συστέλλει τὰς μερίδας τὰς ἐν τῷ ἁγίῳ Δισκαρίῳ, ὥστε εἶναι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τι.*

*Εἶτα ὁ διάκονος λαβὼν τὸ θυμιατήριον, λέγει τῷ ἱερεῖ·*

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

*Καὶ ὁ ἱερεὺς εὐλογῶν αὐτὸ, λέγει·*

*Ὁ Ἱερεύς·* + Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

*Hierna neemt hij dezelfde of een vijfde prosfoor*

Voor de gedachtenis en de vergeving van zonden van de zalige stichters van deze kerk.

*En hij gedenkt de bisschop die hem gewijd heeft, zo deze overleden is, en wie hij verder gedenken wil van de overledenen (de deeltjes legt hij onder die der levenden); tenslotte*

En alle orthodoxen die in de hoop op de opstanding tot het eeuwige leven in gemeenschap met U ontslapen zijn, menslievende Heer.

*Ook de diaken noemt namen die hij wil, terwijl de priester voor hen deeltjes uitsnijdt.*

*Tenslotte snijdt hij ook voor zichzelf een deeltje uit*

P Gedenk, Heer, ook mij, onwaardige,
en vergeef mij al mijn gewilde en ongewilde zonden.

*Met de spons ordent hij de deeltjes zodanig, dat er geen gevaar bestaat dat er iets van de heilige diskos afvalt.*

*De diaken neemt het wierookvat en legt wierook op de kool*

d Zegen, heer, de wierook.

*Zegenend zegt de priester het gebed van de wierook*

P + Wierook bieden wij U aan, Christus onze God, tot een welriekende geestelijke geur; aanvaard deze op Uw hemels Altaar en zend ons daarvoor de genade van Uw alheilige Geest.

*Ὁ ἱερεὺς θυμιάσας τὸν Ἀστερίσκον, θέτει αὐτὸν ἐπάνω τοῦ ἁγίου Ἄρτου.*

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν. Στερέωσον, δέσποτα.

* *Ὁ Ἱερεύς·* Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον.

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν. Εὐπρέπισον, δέσποτα.

*Ὁ ἱερεὺς θυμιῶν τὸ πρῶτον κάλυμμα, καλύπτει δι' αὐτοῦ τὸν Ἀμνὸν σὺν τῷ Δισκαρίῳ, λέγων·*

*Ὁ Ἱερεύς·* Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα.

*Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καλύπτει δι' αὐτοῦ τὸ ἅγιον Ποτήριον, λέγων·*

*Ὁ Ἱερεύς·* Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

* *ἀντί·*

*Ὁ Ἱερεύς· Καὶ ἐλθὼν ὁ ἀστὴρ..*

*στὰ χειρὸγραφα καὶ κατὰ τὴν ἔκδοσιν τῆς Ἱ. Μ. Σίμωνος Πέτρας·*

*Ὁ Ἱερεύς·* Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν και τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτων.

*De priester neemt de Ster en houdt deze boven het wierookvat en zet de Ster op de heilige diskos over het heilige Brood.*[15]

d Laat ons bidden tot de Heer. Doe vast staan, Heer.

*P En de ster kwam en bleef staan boven de plaats waar het Kind Zich bevond.

d Laat ons bidden tot de Heer. Bekleed, heer.

*De priester bewierookt een klein velum en legt dit over de heilige diskos*

P De Heer is Koning, Hij heeft Zich met luister bekleed, de Heer heeft Zich met macht bekleed en omgord.[16]

d Laat ons bidden tot de Heer. Overdek, heer.

*De priester bewierookt het tweede kleine velum en bedekt de heilige kelk.*

P Uw majesteit, o Christus, overdekt de hemelen
en de aarde is vol van Uw lof.

* [15] *in plaats van:*

*P En de ster kwam ...*

*herstelt de uitgave van Simono-Petra de oude tekst:*

P Door het woord des Heren staan de hemelen vast en door de adem van Zijn mond heel hun kracht.

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, δέσποτα.

*Ὁ ἱερεὺς θυμιῶν τὸ τρίτον κάλυμμα καὶ σκεπάζων δι' αὐτοῦ τό τε ἅγιον Δισκάριον καὶ τὸ ἅγιον Ποτήριον, λέγει·*

*Ὁ Ἱερεύς·* Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Καὶ ὁ ἱερεὺς λαβὼν τὸ θυμιατήριον, θυμιᾷ τὴν Πρόθεσιν λέγων ἐκ τρίτου τό·*

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας· δόξα σοι.

*Ὁ δὲ διάκονος ἐν ἑκάστῃ ἐπιλέγει·*

*Ὁ διάκονος·* Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Καὶ προσκυνοῦσιν εὐλαβῶς ἀμφότεροι ἐκ τρίτου. Λαβὼν δὲ ὁ διάκονος τὸ θυμιατήριον λέγει·*

*Ὁ διάκονος·* Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων· τοῦ Κυρίου δεηθῶμεν.

*Καὶ ὁ ἱερεὺς λέγει μετὰ συντριβῆς καρδίας τὴν εὐχήν·*

*Ὁ Ἱερεύς·* Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· Αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκόντων καὶ δι' οὓς

d Laat ons bidden tot de Heer. Bedek, heer.

*De priester bewierookt het grote velum, waarmee hij de heilige diskos en de heilige kelk samen bedekt*

P Bedek ons met de bescherming van Uw vleugelen; verjaag van ons elke vijand en tegenstander. Maak ons leven vredig, Heer, ontferm U over ons en over Uw wereld en red onze zielen, want Gij zijt goed en menslievend.

*De priester neemt het wierookvat en bewierookt de Gaven driemaal, elke keer zeggend*

P Gezegend zijt Gij onze God, Die hierin Uw welbehagen hebt; eer aan U. *(3x)*

*De diaken antwoordt iedere keer*

d Immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Beiden buigen 3x eerbiedig. De diaken neemt het wierookvat over*

d Bij het aanbieden van de kostbare gaven,
laat ons bidden tot de Heer.

## Proskomidiegebed

P God, onze God, Gij hebt het hemels Brood, het voedsel van heel de wereld, onze Heer en God Jezus Christus, uitgezonden als Redder, Verlosser en Weldoener, Die ons zegent en heiligt: zegen Zelf deze offergaven en aanvaard deze op Uw hemels Altaar. Gedenk, als goede en menslievende, degenen die deze aangeboden hebben en degenen voor wie deze werden

προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ποιεῖ τὴν μικρὰν ἀπόλυσιν ἐν τῇ Προθέσει.*

*Ὁ Ἱερεύς·* Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

*Ὁ διάκονος·* Δόξα... Καὶ νῦν... Κύριε ἐλέησον *(γ΄)*. δέσποτα ἅγιε, εὐλόγησον.

*Ὁ Ἱερεύς·* (...) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,
ταῖς πρεσβείαις τῆς παναχράντου
καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός,
τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρίας τοῦ Μεγάλου,
καὶ πάντων τῶν Ἁγίων,
ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Ὁ διάκονος·* Ἀμήν.

*Ὁ Διάκονος (ἢ ὁ Ἱερεύς) θυμιᾷ τὴν ἁγίαν Πρόθεσιν, τὴν ἁγίαν Τράπεζαν, σταυροειδῶς καὶ τὸ Ἱερατεῖον καὶ τὸν λαόν ἀπὸ τὴν ὡραίαν πύλην καὶ ἐπιστρέψας θυμιᾷ καὶ αὖθις τὴν ἁγίαν Τράπεζαν καὶ τὸν ἱερέα, λέγων καθ' ἑαυτὸν·*

*Ὁ Διάκονος·* Ἐν τάφῳ σωματικῶς,
ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός,
ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ καὶ
ἐν θρόνῳ ὑπῆρχες Χριστέ,
μετὰ Πατρὸς καὶ Πνεύματος,
πάντα πληρῶν ὁ ἀπερίγραπτος.

aangeboden. Bewaar ons zonder veroordeling bij de eredienst van Uw goddelijke Mysteriën. Want geheiligd en verheerlijkt is Uw alomgeëerde en hoogverheven Naam: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Hij doet de kleine wegzending, daar waar hij staat*

P Eer aan U, Christus God, onze hoop, eer aan U.
d Eer ... Nu en ... Heer, ontferm U *(3x)*
Zegen, heer.
P Dat Christus onze ware God,
(Die opgestaan is uit de doden)
Zich over ons ontferme en ons redde,
door de voorspraak van Zijn ongerepte Moeder,
van onze heilige vader Basilius de Grote,
aartsbisschop van Ceasarea,
en van alle heiligen, want Hij is goed en menslievend.
d Amen.

*De diaken (anders de priester) bewierookt de proskomidie en het Altaar rondom kruisgewijs, daarna de altaarruimte en het volk vanuit de heilige poort; dan gaat hij weer het altaar binnen en bewierookt weer het Altaar en de priester:*

D In het graf waart Gij met Uw lichaam,
in de onderwereld als God met Uw ziel,
in het paradijs met de rover,
en op de troon met de Vader en de Geest,
Christus, Die alles vervult,
Gij Onomschrijfbare.

## Τὸν Ν΄ ψαλμόν

Ἐλέησόν με ὁ θεός κατὰ τὸ μέγα ἔλεός σου
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου.
ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου,
καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με,
ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω,
καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός
Σοὶ μόνῳ ἥμαρτον
καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα.
Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου
καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην
καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας,
τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι,
πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι .
Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην,
ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί ὁ θεός
καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου
καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου
καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με.

## Psalm 50

Ontferm U over mij, o God, volgens Uw grote ontferming,
en volgens de overvloed van Uw barmhartigheid,
wis mijn ongerechtigheid uit.
Was mij steeds meer van mijn ongerechtigheid,
en reinig mij van mijn zonde.
Want ik erken mijn ongerechtigheid,
en mijn zonde staat mij voortdurend voor ogen.
Tegen U alleen heb ik gezondigd,
en ik heb kwaad gedaan voor Uw aanschijn.
Zodat Gij rechtvaardig blijkt in Uw uitspraak,
en zult winnen als men U oordeelt.
Want zie, in ongerechtigheden ben ik ontvangen,
mijn moeder droeg mij in zonden.
Want zie, Gij hebt waarheid lief,
het onbekende en het verborgene van Uw wijsheid
hebt Gij mij bekend gemaakt.
Besprenkel mij met hysop en ik zal rein worden:
was mij, en ik word witter dan sneeuw.
Laat mij vreugde en blijdschap horen,
en mijn vernederd gebeente zal zich verheugen.
Wend Uw aangezicht van mijn zonden af,
en wis al mijn ongerechtigheden uit.
Schep in mij een rein hart, o God,
en maak nieuw een rechte geest in mijn binnenste.
Verwerp mij niet van voor Uw aangezicht,
en neem Uw Heilige Geest niet van mij weg.
Geef mij de vreugde terug van Uw heil,
en sterk mij met een besturende geest.

Διδάξω ἀνόμους τὰς ὁδούς σου
καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.
῾Ρῦσαί με ἐξ αἱμάτων ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου
ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε τὰ χείλη μου ἀνοίξεις
καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
῞Οτι εἰ ἠθέλησας θυσίαν ἔδωκα,
ἄν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον,
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην
ὁ θεὸς οὐκ ἐξουθενώσει.
Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων
καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα,
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Καὶ ἀποθέτει τὸ θυμιατόν.*

*Καὶ, ἐπιστάντος τοῦ καιροῦ ἐνάρξεως τῆς θ. Λειτουργίας, ἵστανται ὁμοῦ ὅ τε Ἱερεὺς καὶ ὁ διάκονος πρὸ τῆς ἁγίας Τραπέζης (καὶ λέγει ὁ ἱερεῦς τό· Βασιλεῦ οὐράνιε...)*

*Εἶτα, προσκυνοῦντες ἀμφότεροι τρίς, λέγουσι·*

*Ὁ Ἱερεύς·* Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία *(δίς)*.
Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Wettelozen zal ik Uw wegen leren,
en goddelozen zullen zich tot U bekeren.
Bevrijd mij van bloedschuld, o God, God van mijn heil:
mijn tong zal Uw gerechtigheid bejubelen.
Heer, open mijn lippen,
en mijn mond zal Uw lof verkondigen.
Want als Gij een offer wilde, zou ik het brengen,
maar in brandoffers hebt Gij geen behagen.
Een offer voor God is een vermorzelde geest,
een vermorzeld en vernederd hart zult Gij, God, niet versmaden.
Doe goed, Heer, in Uw welbehagen aan Sion
en mogen de muren van Jeruzalem worden opgebouwd.
Dan zult Gij behagen hebben in een offer van rechtvaardigheid, offerande en brandoffers,
dan zal men kalveren op Uw altaar opdragen.

*Hij hangt het wierookvat weg en gaat naar de priester.*

*Wanneer de tijd voor de heilige Liturgie is aangebroken, gaan de priester en de diaken samen voor het Altaar staan (eventueel bidt de priester eerst:* Hemelse Koning ... *)* [17-18].

*Daarna maken zij drie buigingen, zeggend:*

P Eer aan God in den hoge en vrede op aarde,
in de mensen een welbehagen. *(2x)*
Heer, open mijn lippen
en mijn mond zal Uw lof verkondigen. *(1x)*

*Ὁ διάκονος·* Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· εὐλόγησον, δέσποτα ἅγιε.

*Ὁ ἱερεὺς ἐπιθεὶς τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ σφραγίζων αὐτόν, λέγει·*

*Ὁ ἱερεὺς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ διάκονος·* Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

*Ὁ ἱερεὺς·* Κατευθῦναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.
*Ὁ διάκονος·* Μνήσθητί μου, δέσποτα ἅγιε.

*Ὁ ἱερεὺς·* Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Ὁ διάκονος·* Ἀμήν.

*Καὶ ἀσπάζονται ὁ μὲν ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον καὶ ὁ δὲ διάκονος τὴν ἁγίαν Τράπεζαν.*

*Ὁ διάκονος ἐξέρχεται ἐκ τοῦ ἱεροῦ Βήματος, καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ.*
*[Ὁ διάκονος· Εὐλόγησον, δέσποτα.]*

*Καὶ οὕτως ἄρχονται τῆς θείας Λειτουργίας.*

d Het is tijd voor de Heer om te handelen. Zegen, heer.

*Hij buigt het hoofd, de priester zegent hem door zijn hoofd te bekruisen*

p Gezegend is onze God, immer, nu en altijd,
en in de eeuwen der eeuwen.

d Amen. Bid voor mij, heilige heer.

p De Heer richte uw schreden tot elk goed werk.

d Gedenk mij, heilige heer.

p De Heer God gedenke u in Zijn koninkrijk,
immer, nu en altijd, en in de eeuwen der eeuwen.

d Amen.

*De priester kust het Evangelie.*
*De diaken kust de rechterhoek van het Altaar en gaat naar buiten, naar zijn gebruikelijke plaats.*

*De diaken buigt driemaal naar het Oosten en roept:*
*[d Zegen, heer!]*

*en zo begint de Goddelijke Liturgie.*

# Η Θεια Λειτουργια

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα.

*Ὁ ἱερεὺς ὑψῶν ἅμα τὸ Εὐαγγέλιον καὶ ποιῶν τύπον σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου, ἐκφωνεῖ·*

*Ὁ Ἱερεύς·* Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Διάκονος·* Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (*Ἀθηναγόρου*), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

# De Goddelijke Liturgie

d Zegen, heer.

*De priester heft het Evangelieboek op en maakt er een kruis mee boven het antimension, en zegt luid:*

P Gezegend is het koninkrijk van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

D Laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U. *(Na iedere bede)*

D Om de vrede van boven en de redding van onze zielen, bidden wij de Heer.

Om vrede voor de gehele wereld, standvastigheid van de heilige kerken Gods en eenheid van allen, bidden wij de Heer.

Voor dit heilig Godshuis en voor hen die er met geloof, eerbied en vreze Gods binnentreden, bidden wij de Heer.

Voor de vrome en orthodoxe christenen, bidden wij de Heer.

Voor onze aartsbisschop *(Athenagoras)*, de eerbiedwaardige priesters, de diakens in Christus, alle geestelijken en het volk, bidden wij de Heer.

Ὑπὲρ τῶν βασιλέων τῆς χώρας ταύτης *(Βίλεμ - Ἀλεξάνδρου καὶ Μαξίμης)*, τῆς βασιλικῆς οἰκογενείας, τῶν ἀρχῶν καὶ τοῦ λαοῦ αὐτῆς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως *(ἢ τῆς ἁγίας Μονῆς, ἢ τῆς χώρας, ἢ τῆς νήσου)* ταύτης, πάσης πόλεως χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοὶ Κύριε.

medezusters, bidden wij de Heer.

Voor koning *(Willem-Alexander),* koningin (*Máxima*), het koninklijk huis, de regering van ons land en hen die het beschermen, bidden wij de Heer.

Voor deze stad, *(of: dit klooster, of deze streek of dit eiland)* voor elke stad en streek en voor de gelovigen die er wonen, bidden wij de Heer.

Om gunstig weer en overvloed van de vruchten van de aarde, bidden wij de Heer.[19]

Voor de reizenden, de zieken, de lijdenden, de gevangenen en hun redding, bidden wij de Heer.

Om bevrijding uit alle verdrukking, toorn, gevaar en nood, bidden wij de Heer.[20]

Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

*ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς*

## τὴν Εὐχὴν τοῦ α΄ Ἀντιφώνου

*Ὁ Ἱερεύς·* Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

*Ἐκφώνως:* Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Καὶ ὁ λαός ψάλλει τὸ πρῶτον ἀντίφωνον, συνοδευόμενον ἀπὸ τὸ ἐφύμνιον:* Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς. *Ὁ διάκονος προσκυνήσας, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς Θεοτόκου, βλέπων πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ Ἀντιφώνου, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·*

*Ὁ Διάκονος·* Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοὶ Κύριε.

*De priester zegt zacht het* GEBED VAN DE EERSTE ANTIFOON [21]

P Heer, onze God, Wiens macht onvergelijkelijk en Wiens heerlijkheid onbegrijpelijk is; Wiens ontferming onmetelijk en Wiens mensenliefde onuitsprekelijk is: Gij, Heer, zie in Uw barmhartigheid op ons neer en op dit heilig Godshuis. Schenk ons en hun die met ons meebidden rijkelijk Uw ontferming en Uw mededogen.

*Uitroep:* Want U komt toe alle heerlijkheid, eer en aanbidding, Vader, Zoon en Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Het koor zingt de eerste antifoon.[22] De diaken maakt een buiging en gaat voor de ikoon van de Moeder Gods staan, gewend naar de ikoon van Christus.[23] Hij wacht daar tot de antifoon uitgezongen is. Daarna gaat hij weer op zijn gebruikelijke plaats staan en maakt een buiging en zegt:*

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria, met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

*ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς*

## τὴν Εὐχὴν τοῦ β΄ Ἀντιφώνου

*Ὁ Ἱερεύς·* Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

*Ἐκφώνως:* Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Καὶ ψάλλει τὸ δεύτερον ἀντίφωνον καὶ Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.*

*Ὁ Διάκονος·* Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. *Ὁ λαός·* Σοὶ Κύριε.

*De priester zegt zacht het* GEBED VAN DE TWEEDE ANTIFOON [24]

P Heer onze God, red Uw volk en zegen Uw erfdeel. Bewaar heel Uw Kerk. Heilig hen die de luister van Uw huis liefhebben. Verheerlijk hen daarvoor door Uw goddelijke kracht en verlaat ons niet, die op U hopen.

*Uitroep:* Want van U is de macht, en van U is het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Het koor zingt de 2e antifoon en aansluitend Eniggeboren Zoon en Woord van God, Gij Die onsterflijk zijt, en omwille van onze verlossing vlees hebt willen aannemen uit de heilige Moeder Gods en altijd Maagd Maria, en zonder verandering mens geworden zijt; Die gekruisigd zijt en de dood door Uw dood hebt vertreden, Christus God, Die één zijt van de Heilige Drievuldigheid, en verheerlijkt wordt te zamen met de Vader en de Heilige Geest: red ons.*

*De diaken gaat op zijn gebruikelijke plaats staan.*[25]

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria, met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer. *De diaken gaat het altaar in.*

*ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς*

## *τὴν Εὐχὴν τοῦ γ' Ἀντιφώνου:*

*Ὁ Ἱερεύς·* Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισί, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· Αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι, τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

*Ἐκφώνως·* Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Καὶ ψάλλει τὸ τρίτον ἀντίφωνον, συνοδευόμενον ἀπὸ τὸ ἐφύμνιον*

## ἡ Μικρὰ Εἴσοδος

*Ψαλλομένου τοῦ τρίτου ἀντιφώνου γίνεται ἡ μικρὰ Εἴσοδος τοῦ Εὐαγγελίου. Λαβὼν ὁ ἱερεὺς τὸ Εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες ἀμφότεροι διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων ἢ καὶ ἐξαπτερύγων, ποιοῦσι τὴν μικρὰν εἴσοδον, καὶ στάντες ἐν τῷ μέσῳ τοῦ ναοῦ κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς·*

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*De priester zegt zacht het* GEBED VAN DE DERDE ANTIFOON [26]

P Gij hebt ons deze gemeenschappelijke en eenstemmige gebeden geschonken en beloofd om de smeekbeden te verhoren van twee of drie eenstemmig bidden in Uw Naam; verhoor nu ook het smeken van Uw dienaren, voorzover het goed voor ons is. Verleen ons in deze tegenwoordige tijd inzicht in Uw waarheid en schenk ons in de komende tijd het eeuwige leven.

*Uitroep:* Want Gij zijt de goede en menslievende God en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*De deuren worden geopend voor de kleine intocht.*
*Het koor zingt de derde antifoon, of de Zaligsprekingen.*

## KLEINE INTOCHT

*De priester en de diaken buigen drie maal voor het Altaar. De priester neemt het Evangelie en geeft het aan de diaken. Zij gaan rechtsom achterlangs het Altaar door de noorddeur naar buiten en maken de kleine intocht, voorafgegaan door kaarslicht. Voor de ambon aangekomen zegt de diaken zacht*

d Laat ons bidden tot de Heer.

*Ὁ ἱερεὺς λέγει μυστικῶς* **τὴν Εὐχὴν τῆς Εἰσόδου**

*Ὁ Ἱερεύς·* Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ διάκονος·* Εὐλόγησον Δέσποτα τὴν ἁγίαν εἴσοδον.

*Ὁ ἱερεὺς σφραγίζει τὰς ἁγίας θύρας λέγων·*

*Ὁ Ἱερεύς·* Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ὁ διάκονος προσφέρει τῷ ἱερεῖ τὸ Εὐαγγέλιον, ἵνα ἀσπασθῇ τοῦτο. Πληρωθέντος δὲ τοῦ τελευταίου τροπαρίου, ὁ διάκονος στὰς ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἔμπροσθεν τοῦ ἱερέως, λέγει ἐκφώνως·*

*Ὁ Διάκονος·* Σοφία· Ὀρθοί.

*Ὁ ἱερεὺς καὶ ὁ διάκονος εἰσέρχονται διὰ τῆς ὡραίας πύλης εἰς τὸ Ἱερόν. Ὁ διάκονος ἀποτίθησιν ἐπὶ τῆς ἁγίας Τραπέζης τὸ ἱερὸν Εὐαγγέλιον. Ὁ λαὸς ψάλλει τὸ εἰσοδικόν· Δεῦτε προσκυνήσωμεν.. Ὁ χορὸς ψάλλει τὰ Ἀπολυτίκια. Εἶτα τὸ Κοντάκιον τῆς Ἐκκλησιαστικῆς περιόδου.*

*De priester zegt zacht het* **INTOCHTSGEBED**

P Meester, Heer, onze God, Die in de hemelen legioenen en heerscharen van engelen en aartsengelen hebt aangesteld voor de dienst van Uw heerlijkheid, geef dat met onze intocht ook de intocht geschiede van de heilige engelen, die samen met ons dienen en Uw goedheid verheerlijken. Want U komt toe alle heerlijkheid, eer en aanbidding, Vader, Zoon en Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

d Zegen, heer, de heilige intocht.

P Gezegend is de intocht van Uw heiligen, immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*De diaken laat de priester het Evangelie kussen. Zodra het koor de derde antifoon uitgezongen heeft, heft de diaken het Evangelie op, tot aan zijn voorhoofd, en roept, staande voor de priester:*

D Wijsheid! Staat recht!

*Zij gaan het altaar binnen, de diaken voorop, die het Evangelie op het Altaar legt. Het koor zingt* "Komt, laat ons" *en de troparen en het kondaak van de tijd van het jaar.*

*Ὁ ἱερεὺς μυστικῶς*

## τὴν Εὐχὴν τοῦ Τρισαγίου

*Ὁ Ἱερεύς·* Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβεὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· Αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Ἱερεύς· (ἐκφώνως:)* Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

*Ὁ Διάκονος·* Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ondertussen bidt de priester het* TRISAGION-GEBED

P Heilige God, Die rust in het Heilige, Die met het Driemaal Heilig bezongen wordt door de serafijnen en verheerlijkt wordt door de cherubijnen en aanbeden door alle hemelse machten: Gij hebt het heelal vanuit het niet-zijn tot het zijn gebracht. Gij hebt de mens geschapen naar Uw beeld en gelijkenis en hem met al Uw genadegaven gesierd. Gij schenkt wijsheid en inzicht aan wie er om vraagt, en Gij versmaadt hen die zondigen niet, maar Gij hebt bekering ingesteld tot redding. Gij hebt ons, Uw geringe en onwaardige dienaren, waardig geacht om ook nu voor de heerlijkheid van Uw heilig Altaar te staan en U de verschuldigde aanbidding en lofprijzing op te dragen: aanvaard ook Zelf, Heer, uit de mond van ons zondaars de hymne van het Driemaal Heilig en bezoek ons in Uw goedheid. Vergeef ons iedere gewilde en ongewilde overtreding. Heilig onze zielen en lichamen en geef ons om U in heiligheid te dienen alle dagen van ons leven; door de voorspraak van de heilige Moeder Gods en van alle heiligen, die U vanaf het begin der tijden welgevallig zijn geweest.

*na de troparen zegt de diaken*

d Laat ons bidden tot de Heer.

*uitroep*

P Want heilig zijt Gij, onze God, en tot U zenden wij de lof, tot de Vader, de Zoon en de Heilige Geest,
nu en altijd,

D en in de eeuwen der eeuwen.

*Ὁ λαός·* Ἀμήν. *Καὶ ψάλλει τὸν **τρισάγιον ὕμνον:***
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς *(τρίς)*. Δόξα.. Καὶ νῦν.. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ὁ Διάκονος·* Δύναμις.

*Ὁ α΄ χορός·* Δύναμις. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Εἶτα ὁ ἱερεὺς καὶ ὁ διάκονος λέγουσιν ἐναλλὰξ τὸν Τρισάγιον ὕμνον, ποιοῦντες ὁμοῦ τρία προσκυνήματα μετὰ σταυρῶν ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.*

*Ὁ διάκονος·* Κέλευσον, δέσποτα.

*Ἀπέρχονται εἰς τὴν καθέδραν, ἢ τὴν Πρόθεσιν, τοῦ ἱερέως λέγοντος·*

*Ὁ Ἱερεύς·* Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.

*Ὁ Ἱερεύς·* Εὐλογημένος εἶ, ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβείμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, βλέπει πρὸς τὸν λαόν.*

K Amen. *en zingt het **trisagion**:*
Heilige God, Heilige Sterke, Heilige onsterfelijke, ontferm U over ons. *(3x)* Eer ... Nu en ... Heilige onsterfelijke, ontferm U over ons.

D Met kracht!

K Met kracht. Heilige God, Heilige Sterke, Heilige onsterfelijke, ontferm U over ons.

*Of op sommige feestdagen*

K *Gij allen ... of Uw Kruis ...*

*Ondertussen bidden ook de priester en de diaken elkaar afwisselend het 'Heilige God ..', waarbij zij drie buigingen maken voor het Altaar.*

d Zegen, heer.

*Zij begeven zich naar de troon achter het Altaar*

P Gezegend Hij Die komt in de Naam des Heren.

d Zegen, heer, de verheven troon.

P Gezegend zijt Gij op de troon der heerlijkheid van Uw koninkrijk, Gij Die zetelt op de cherubijnen; immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Wanneer het 'Heilige God...' gezongen is, gaat de diaken naar de heilige deuren en kijkt richting volk.*

*Ὁ ἀναγνώστης ἐκφωνεῖ τὸν Προκειμένον.*

*Ὁ Διάκονος·* Πρόσχωμεν.

*Ὁ ἀναγνώστης ἐκφωνεῖ τὸν στίχον τοῦ Προκειμένου.*

*Ὁ Διάκονος·* Σοφία.
*Ὁ ἀναγνώστης ἐκφωνεῖ τὴν ἐπιγραφὴν.*

*Ὁ Διάκονος·* Πρόσχωμεν.
*Καὶ ὁ ἀναγνώστης ἀναγινώσκει τὴν οἰκείαν περικοπὴν ἐκ τοῦ Ἀποστόλου.*
*Ἀναγινωσκομένου δὲ τοῦ Ἀποστόλου, (ἢ ψαλλομένου τοῦ ἀλληλουαρίου) ὁ Διάκονος θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὰς Δεσποτικὰς εἰκόνας καὶ τὸν λαόν, ἐκ τῶν ὡραίων Πυλῶν.*
*Τοῦ Ἀποστόλου πληρωθέντος λέγει ὁ ἱερεύς·*

*Ὁ Ἱερεύς·* Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.
*Ὁ λαός·* Ἀλληλούϊα *(τρίς)*.

*Ὁ δὲ ἱερεὺς ἀναγινώσκει μυστικῶς πρὸ τῆς ἁγίας Τραπέζης ταύτην τὴν εὐχήν:*

*Ὁ Ἱερεύς·* Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε, Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

L *leest het prokimen*

D Laat ons aandachtig zijn!

L *leest het prokimen-vers*

D Wijsheid

L *leest het opschrift*

D Laat ons aandachtig zijn!

L *leest de perikoop*

*Ondertussen (of tijdens het zingen van het alleluia) neemt de diaken het wierookvat en wierook, vraagt zegen aan de priester en bewierookt het Altaar rondom, heel het altaar en de priester, en vanuit de Poort de ikonostase en het volk.*
*Als de apostel gelezen is*

P Vrede zij u, lezer.

L/K En met uw geest. Alleluja, alleluja, alleluja.

*De priester bidt voor het Altaar het* EVANGELIEGEBED

P Laat stralen in onze harten, menslievende Heer, het zuivere licht van Uw goddelijke kennis en open de ogen van ons verstand om de verkondiging van Uw Evangelie te begrijpen. Plant in ons het ontzag voor Uw zalige geboden, zodat wij al onze vleselijke begeerten vertreden en een geestelijke levenswijze leiden en U behagen in al ons denken en doen. Want Gij zijt de verlichting van onze zielen en lichamen, Christus God, en tot U zenden wij de lof evenals tot Uw beginloze Vader en Uw alheilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Ὁ δὲ Διάκονος μετὰ τὸ θυμίαμα, λαβὼν τὸ ἅγιον Εὐαγγέλιον καὶ προσελθὼν τῷ ἱερεῖ καὶ τὴν κεφαλὴν ὑποκλίνας, λέγει·*

*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ (*Ματθαίου ἢ Μάρκου ἢ Λουκᾶ ἢ Ἰωάννου*).

*Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτόν, λέγει·*

*Ὁ ἱερεύς·* Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ *(δεῖνος)* δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ Αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

*Ὁ διάκονος·* Ἀμήν.

*Εἶτα λαβὼν ἐκ τῶν χειρῶν τοῦ ἱερέως τὸ ἅγιον Εὐαγγέλιον καὶ προσκυνήσας μετ' εὐλαβείας, αἴρει αὐτὸ καί, προπορευομένων λαμπάδων, ἀπέρχεται εἰς τὸν Ἄμβωνα, ἐνῷ ὁ ἱερεύς ἀπὸ τῆς πύλης τοῦ ἱεροῦ Βήματος ἐκφωνεῖ:*

*Ὁ Ἱερεύς·* Σοφία. Ὀρθοί,
ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
Εἰρήνη πᾶσι.

*Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

*Ὁ Διάκονος·* Ἐκ τοῦ κατὰ *(δεῖνα)* ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

*Ὁ λαός·* Δόξα Σοι, Κύριε, δόξα Σοι.

*Ὁ Ἱερεύς·* Πρόσχωμεν.

*De diaken hangt het wierookvat weg, gaat naar de priester en zegt met gebogen hoofd*

d Zegen, heer, de verkondiger van het Evangelie volgens de heilige apostel en evangelist *(Mattheüs of Markus of Lukas of Johannes).*

*De priester zegent hem, zeggend*

p Moge God, door de gebeden van de heilige, roemrijke apostel en evangelist (....) het u geven, verkondiger van de Blijde Boodschap, om met grote kracht het woord te verkondigen, tot vervulling van het Evangelie van Zijn geliefde Zoon, onze Heer Jezus Christus.

*Hij geeft hem het Evangelie.*

d Amen.

## EVANGELIELEZING

*De diaken neemt het Evangelie aan, vereert het en gaat door de heilige deuren naar de ambon, voorafgegaan door kaarslicht. [N.B. 'ambon' kan zijn wat wij een preekstoel noemen, of anders op de onderste trede van de bisschops-koorstoel]. De priester staat voor het Altaar, naar het Westen gekeerd.*

P Wijsheid, staat recht!
Laat ons luisteren naar het heilig evangelie.
Vrede zij u allen.

K En met uw geest.

D Lezing uit het heilig evangelie volgens *[Mattheüs /...]**

K Eer aan U, o Heer, eer aan U!

P Laat ons aandachtig zijn.

*Καὶ ἀναγινώσκει ὁ διάκονος τὴν τεταγμένην περικοπὴν τοῦ ἁγίου Εὐαγγελίου, μεθ' ὃ ἱερεὺς λέγει:*

*Ὁ ἱερεύς·* Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ
*ὁ δὲ λαὸς ψάλλει ἀργῶς:* Δόξα Σοι, Κύριε, δόξα Σοι.

*Ἀκολουθεῖ ἡ ἑρμηνεία τῆς ἀναγνωσθείσης Εὐαγγελικῆς ἢ Ἀποστολικῆς περικοπῆς.*

*Εἶτα ὁ διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν*

## Ἐκτενῆ

*Ὁ Διάκονος·* Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.
*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
*Ὁ λαός·* Κύριε ἐλέησον *(τρίς).*

*Ὁ Διάκονος·* Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων χριστιανῶν.

*Ὁ Διάκονος·* Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(Ἀθηναγόρου).*

*De diaken leest de aangegeven perikoop. Na de lezing geeft de diaken het Evangelie terug aan de priester*

p + Vrede zij u, verkondiger van het Evangelie.

K Eer aan U, o Heer, eer aan U.

*Vanaf de ambon verklaart de priester de gelezen perikoop van het evangelie of de apostel.*

*De diaken gaat op zijn gewone plaats staan*

## Dringende litanie

D Zeggen wij allen met geheel onze ziel
en met geheel ons verstand, zeggen wij:

K Heer, ontferm U.

D Heer, Albeheerser, God van onze vaderen, wij bidden U: verhoor ons en ontferm U.

K Heer, ontferm U.

D Ontferm U over ons, o God, volgens Uw grote ontferming, wij bidden U, verhoor ons en ontferm U.

K Heer, ontferm U. *(3x na iedere bede)*

D Ook bidden wij voor de vrome en orthodoxe christenen.[27]

Ook bidden wij voor onze aartsbisschop *(Athenagoras)*.

Ἔτι δεόμεθα ὑπὲρ τῶν βασιλέων τῆς χώρας ταύτης *(Βίλεμ - Ἀλεξάνδρου καὶ Μαξίμης)*, τῆς βασιλικῆς οἰκογενείας, τῶν ἀρχῶν καὶ τοῦ λαοῦ αὐτῆς.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἱερᾶς Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας *(ἢ Μονῆς)* ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίας ὀντῶν καί πάντων τῶν διακονουσῶν καί διακονησασῶν ἐν τῇ ἁγία Μονῇ ταυτῇ.

Ook bidden wij voor onze koning *(Willem-Alexander)*, koningin *(Máxima)*, het koninklijk huis, de regering van ons land en hen die het beschermen

Ook bidden wij voor de priesters, de diakens, de monniken en monialen en geheel onze broederschap in Christus.

Ook bidden wij om ontferming, leven, vrede, gezondheid, redding, bescherming, vergeving en kwijtschelding van zonden, voor al de vrome orthodoxe christenen die in deze stad *(streek)* wonen en voor de parochianen en weldoeners van deze heilige kerk.

Ook bidden wij voor de zalige gedenkwaardige stichters van deze heilige kerk *(of klooster)*; voor alle reeds ontslapen parochianen, en voor alle rechtgelovigen die hier en overal rusten.

Ook bidden wij voor hen die goede vrucht dragen en weldoen in deze heilige en eerbiedwaardige kerk, voor hen die er werken, voor hen die er zingen en voor heel het aanwezige volk, dat van U grote en rijke ontferming verwacht.

*Τούτων λεγομένων, ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς*

## τὴν Εὐχὴν τῆς Ἐκτενοῦς ἱκεσίας

*Ὁ Ἱερεύς·* Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

*ἐκφώνως:*

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*ὁ δὲ διάκονος ἄρχεται τῆς δεήσεως ὑπὲρ τῶν Κατηχουμένων.*

*Ὁ Διάκονος·* Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

*Ὁ λαός·* Σοὶ Κύριε.

*Ondertussen bidt de priester het*

## Gebed van de dringende litanie [28]

P *zacht* Heer, onze God, aanvaard deze dringende smeekbede van Uw dienaren en ontferm U over ons volgens de overvloed van Uw ontferming. Zend Uw mededogen neer over ons en over heel Uw volk, dat van U rijke ontferming verwacht.

*Uitroep:* Want Gij zijt een ontfermende en menslievende God, en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

## Catechumenen-litanie

D Catechumenen, bidt de Heer.

K Heer, ontferm U. *(doorgezongen tijdens de volgende beden)*

D Gelovigen, laat ons bidden voor de catechumenen.
Dat de Heer Zich over hen moge ontfermen.
Hen moge onderrrichten in het woord der waarheid.
Hun het evangelie van de gerechtigheid moge openbaren.
Hen met Zijn heilige, katholieke en apostolische Kerk moge verenigen.
Red hen, ontferm U, help en bescherm hen, o God, door Uw genade.
Catechumenen, buigt uw hoofd voor de Heer.

K Voor U, o Heer.

*Τούτων λεγομένων, ὁ ἱερεὺς λαμβάνει τὸ ἅγιον Εὐαγγέλιον καὶ ποιεῖ σταυρὸν ἐπάνω τοῦ ἁγίου Ἀντιμηνσίου, τίθησι τοῦτο ἐν τῷ ἄνω μέρει τῆς ἁγίας Τραπέζης καὶ ἀναγινώσκει μυστικῶς τὴν ἑξῆς ὑπὲρ*

## τῶν Κατηχουμένων Εὐχήν

*Ὁ Ἱερεύς·* Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν σου· ποίησον αὐτοὺς μέλη τίμια τῆς ἁγίας σου Ἐκκλησίας καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

*Ἐκφώνως:* Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ ἱερεὺς ἐξαπλοῖ ἐπὶ τῆς ἁγίας Τραπέζης τὸ Εἰλητόν, ὁ δὲ διάκονος λέγει:*

*Ὁ Διάκονος·* Ὅσοι κατηχούμενοι, προέλθετε·
οἱ κατηχούμενοι, προέλθετε·
ὅσοι κατηχούμενοι, προέλθετε.
Μή τις τῶν κατηχουμένων.

*De priester neemt het Evangelie op, maakt er een kruis mee boven het antimension en legt het naar achteren.*

*Voordat hij het antimension openvouwt, zegt de priester zacht het*

## GEBED VOOR DE CATECHUMENEN [29]

P Heer, onze God, Gij woont in de hemel en ziet neer op al Uw werken: zie neer op Uw dienaren de catechumenen, die hun hoofd buigen voor U. Breng hen onder Uw lichte juk. Maak hen tot eerzame ledematen van Uw heilige kerk. Acht hen waardig voor het bad der wedergeboorte, de vergeving van hun zonden en het kleed van de onvergankelijkheid, zodat zij U leren kennen, onze ware God.

*Uitroep:* Opdat ook zij met ons Uw alomgeëerde en hoogverheven Naam verheerlijken: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*De priester vouwt het antimension open.*

D Catechumenen, gaat allen heen;
catechumenen, gaat heen;
catechumenen, gaat allen heen.
Laat niemand van de catechumenen hier blijven.[30]

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Σοφία.

*Ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν*

## α΄ Εὐχὴν τῶν πιστῶν

*Ὁ Ἱερεύς·* Σὺ, Κύριε, κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κατηξίωσας ἡμᾶς, τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην· ἵνα, ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Δός, Κύριε, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Wij gelovigen, laat ons nogmaals en nogmaals in vrede bidden tot de Heer.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Wijsheid.

## het eerste gebed van de gelovigen

P *zacht* Heer, Gij hebt ons dit grote heilsmysterie geopenbaard. Gij hebt ons, Uw geringe en onwaardige dienaren waardig geacht liturgen te worden van Uw heilig Altaar. Maak ons door de kracht van Uw Heilige Geest geschikt voor dit dienstwerk, zodat wij zonder veroordeling mogen staan voor Uw heilige heerlijkheid om U een offer van lof op te dragen. Gij zijt het immers, Die alles in allen tot stand brengt. Heer, geef dat ons offer worde aanvaard en dat het U welgevallig moge zijn zowel voor onze zonden als voor de in onwetendheid begane zonden van het volk.

*Ὁ ἱερεὺς ἐκφώνως:* Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Διάκονος·* Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Σοφία.

*Εἶτα εἰσέρχεται εἰς τὸ ἱερόν.*

*Ὁ ἱερεὺς ἀναγινώσκει μυστικῶς τὴν*

## β΄ εὐχὴν τῶν πιστῶν

*Ὁ Ἱερεύς·* Ὁ Θεός, ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν· ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· σὺ ἐνίσχυσον ἡμᾶς, τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, εἰς τὴν διακονίαν ταύτην καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων.

*Uitroep:* Want U komt toe alle heerlijkheid, eer en aanbidding, Vader, Zoon en Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

D Nogmaals en nogmaals, laat ons in vrede bidden tot de Heer. [31]

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

D Wijsheid!

*Hij gaat door de noorddeur het altaar binnen.*

## HET TWEEDE GEBED VAN DE GELOVIGEN

P *zacht* God, Gij hebt onze geringheid met genade en barmhartigheid bezocht, en ons, Uw geringe, zondige en onwaardige dienaren, voor Uw heilige heerlijkheid gesteld om Uw heilig Altaar te bedienen. Sterk ons voor dit dienstwerk met de kracht van Uw Heilige Geest. En geef ons bij het openen van onze mond het juiste woord om de genade van Uw Heilige Geest af te roepen over de Gaven die wij voor U gaan neerleggen.

*ἐκφώνως:* Ὅπως, ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Καὶ ψάλλει τὸν Χερουβικὸν ὕμνον ἀργῶς καὶ μετὰ μέλους:*
Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν, ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.

*Τούτου δὲ ᾀδομένου, ὁ ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης ἀναγινώσκει μυστικῶς τὴν εὐχήν:*

*Ὁ Ἱερεύς·* Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριος ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ Κύριος καὶ Βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ, τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκά-

*Uitroep:* Opdat wij, door Uw macht altijd beschermd, tot U de lof opzenden: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

## GROTE INTOCHT

*Het koor zingt het cherubijnenlied.*

Wij die de cherubijnen geheimnisvol uitbeelden, en de levenschenkende Drie-eenheid het driemaal heilig toezingen: Laat ons nu alle aardse zorgen terzijde stellen. Om de Koning van het heelal te ontvangen.

### HET GEBED VOOR DE GROTE INTOCHT

P Niemand die gebonden is door vleselijke begeerten en lusten is waardig tot U te gaan, noch U te naderen, noch U te dienen, Koning der heerlijkheid. Het is immers groot en vreeswekkend om U te dienen, zelfs voor de hemelse machten. Toch zijt Gij in Uw onzegbare en onmetelijke mensenliefde mens geworden, zonder wijziging of verandering te ondergaan. Gij zijt onze Hogepriester geworden en Gij hebt ons de heilige dienst van dit liturgisch en onbloedig offer toevertrouwd, als Heerser over alles, want Gij alleen, Heer onze God, heerst over alle hemelse en aardse wezens. Gij wordt gedragen op de cherubijnentroon, Gij, de Heer van de serafijnen en de Koning van Israël, Die alleen heilig zijt en Die rust in het Heilige. Daarom smeek ik U, Die alleen goed zijt en bereid om te luisteren: zie neer op mij, Uw zondige en nutteloze dienaar, en reinig mijn ziel en mijn hart van een slecht geweten; en stel mij, die Gij bekleed hebt met de gena-

νωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς Ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Μετὰ τὴν εὐχὴν λέγουσιν αὐτός τε καὶ ὁ διάκονος τὸν Χερουβικὸν ὕμνον.*

*Ὁ Ἱερεύς·* Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν.

*Ὁ Διάκονος·* Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούια.

*Εἶτα ὁ ἱερεὺς (ἢ ὁ διάκονος) θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὸ ἱερατεῖον καὶ τὰς δεσποτικὰς εἰκόνας καὶ τὸν λαόν, μικρὸν προελθὼν τῶν βημοθύρων· λέγει δὲ καθ' ἑαυτόν, εἰ μέν ἐστι Κυριακή, τὸ* Ἀνάστασιν Χριστοῦ θεασάμενοι, *καὶ τὸν ν´ ψαλμόν· εἰ δὲ οὔ, λέγει τὸ* Δεῦτε προσκυνήσωμεν *(τρίς), καὶ εἶτα τὸν ν' ψαλμόν.*

de van het priesterschap, in staat om door de kracht van Uw Heilige Geest hier voor Uw heilig Altaar te staan, om de heilige dienst van Uw heilig en smetteloos Lichaam en Uw kostbaar Bloed te verrichten. Daarom kom ik met gebogen hoofd tot U en bid ik U: wend Uw aangezicht niet van mij af en verwerp mij niet uit het getal van Uw kinderen. Maar acht mij, Uw zondige en onwaardige dienaar, waardig om U deze gaven aan te bieden. Gij, Christus onze God, zijt het immers Die aanbiedt en aangeboden wordt, Die aanvaardt en uitgedeeld wordt, en tot U zenden wij de lof, evenals tot Uw beginloze Vader en Uw alheilige, goede en levendmakende Geest; nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*Na het gebed zeggen priester en diaken staande voor het Altaar [32] :*

P Wij die de cherubijnen geheimnisvol uitbeelden, en de levenschenkende Drie-eenheid het driemaal heilig toezingen, laat ons nu alle aardse zorgen terzijde stellen.

D Om de Koning van het heelal te ontvangen, onzichtbaar begeleid door engelenscharen. Alleluja.

*De priester of de oudste diaken bewierookt het Altaar rondom, de altaarruimte en van vlak voor de Deuren de ikonen van Christus en de Moeder Gods en het volk, bij zichzelf biddend: op zondag: Nu wij Christus' Opstanding... (zie p. 139) en ps. 50, op andere dagen Komt laat ons ... (3x) en ps. 50, tot 'Doe goed, Heer'.*

*Εἶτα οἱ ἱερουργοῦντες, προσκυνοῦντες τρὶς πρὸ τῆς ἁγίας Τραπέζης καὶ ἀσπαζόμενοι τὸ ἅγιον ἀντιμήνσιον, ὑποκλίνονται πρὸς τὸν λαόν, αἰτοῦντες συγχώρησιν. Καὶ ἀπέρχονται εἰς τὴν ἁγίαν Πρόθεσιν εὐχόμενοι καθ᾽ ἑαυτούς:*

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

*Ὁ διάκονος·* Ἔπαρον, Δέσποτα.

*Ὁ ἱερεὺς ἄρας τὸν Ἀέρα ἐπιτίθησι τοῖς ὤμοις τοῦ διακόνου, λέγων:*

*Ὁ ἱερεύς·* Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

*Καὶ δίδει τὸ ἅγιον Δισκάριον εἰς τὸν διάκονον. Αὐτὸς δὲ λαμβάνει τὸ ἅγιον Ποτήριον.*

*Ὅταν δὲ ὁ λαὸς εἴπῃ τὸ Ὡς τὸν Βασιλέα, τότε σιγᾷ, καὶ ὁ διάκονος μετὰ τοῦ ἱερέως ἐξέρχονται ἐκ τῆς βορείας πύλης καὶ διέρχονται τὸ ἀριστερὸν κλῖτος καὶ τὸ μέσον τοῦ Ναοῦ ποιοῦντες τὴν μεγάλην Εἴσοδον, τοῦ διακόνου ἐκφωνοῦντος μεγαλοφώνως:*

*Ὁ Ἱερεύς / Ὁ Διάκονος·* Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν. *Καὶ συμπληροῖ τὸν χερουβικὸν ὕμνον.*

*Ὁ Διάκονος·* Τῆς ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Hij gaat weer het Altaar binnen en vereert met de diaken het Altaar, vergeving vragend buigen zij ook voor het volk, waarna zij naar de proskomidie gaan. Zij bidden bij zichzelf zeggend:*

God, wees mij zondaar genadig en ontferm U over mij.

d Hef op, heer.

*De priester plaatst de aër op de linkerschouder van de diaken en overhandigt de heilige diskos*

p Heft uw handen op naar het heilige en zegent de Heer.

*Met grote aandacht en eerbied plaatst hij de heilige diskos op het hoofd van de diaken. Zelf neemt de priester de afgedekte heilige kelk op.*

*[Zonder diaken plaatst hij de aër over zijn schouders, neemt de heilige kelk in zijn rechterhand en de heilige diskos in zijn linkerhand.]*

*Ze maken de grote intocht, voorafgegaan door de altaardienaars met de kaarsen en wierook. Door de noorddeur, langs de linkerkant van de kerk en terug door het midden van de kerk. Elkaar afwisselend roepen zij:*

P/D U allen gedenke de Heer God in Zijn koninkrijk, immer, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen. *Het koor zingt het slot van het cherubijnenlied:* Onzichtbaar begeleid door engelenscharen. Alleluja.

*De diaken gaat het eerst naar binnen en blijft rechts staan. Wanneer de priester het altaar binnenkomt, zegt de diaken*[33]

d Uw priesterschap gedenke de Heer God in Zijn koninkrijk, immer, nu en altijd, en in de eeuwen der eeuwen.

*Ὁ ἱερεύς·* Τῆς διακονίας σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ δὲ ἱερεὺς ἀποθέτων τὸ ἅγιον ποτήριον καὶ τὸν ἅγιον δίσκον ἐπὶ τοῦ ἁγίου ἀντιμηνσίου, ἐπιλέγει:*

*Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.*

*Εἶτα τίθησιν τὰ καλύμματα ἐν τῷ ἄνω ἀριστερῷ μέρει τῆς ἁγίας Τραπέζης. Καὶ λαβὼν τὸν ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων καὶ θυμιάσας αὐτόν, σκεπάζει τὰ ἅγια.*

*Ὁ διάκονος·* Ἀγάθυνον, Δέσποτα.

*Καὶ ὁ ἱερεὺς θυμιᾷ (τρὶς) τὰ Ἅγια, λέγει ἅπαξ.*

*Ὁ Ἱερεύς·* **Ἀ**γάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων, καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ.

**Τ**ότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα,

**Τ**ότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Ἀποδοὺς δὲ τὸ θυμιατὸν καὶ κλίνας τὴν κεφαλήν, λέγει τῷ διακόνῳ:*

*Ὁ ἱερεύς·* Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

*Ὁ διάκονος·* Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

p Uw diakonaat gedenke de Heer God in Zijn koninkrijk, immer nu en altijd, en de eeuwen der eeuwen.

*De priester zet de heilige Kelk op het Altaar; hij neemt de heilige diskos over van de diaken en zet deze links van de heilige kelk, en kan hierbij zeggen*[34]

P *De edele Jozef nam Uw allerzuiverst lichaam van het kruis; hij wikkelde het in een reine linnen doek met welriekende kruiden en legde het in een nieuw graf.*

*Hij legt de kleine velums opgevouwen op de linker-achterhoek van het Altaar, neemt het grote velum van de schouder van de diaken af, bewierookt dit en dekt ermee de heilige kelk en de heilige diskos af.*

d Doe goed, Heer.

*Dan bewierookt hij driemaal de Gaven:*

P **D**oe goed, Heer, in Uw welbehagen aan Sion en mogen de muren van Jeruzalem worden opgebouwd.

**D**an zult Gij behagen hebben in een offer van rechtvaardigheid, offerande en brandoffers.

**D**an zal men kalveren op Uw altaar opdragen.[35]

*Hij geeft het wierookvat af en zegt met gebogen hoofd tot de diaken:*

p Gedenk mij, broeder en concelebrant.

d De Heer God gedenke uw priesterschap in Zijn koninkrijk.

*Εἶτα ὁ διάκονος, ὑποκλίνας τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὀράριον, λέγει·*

Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

*Ὁ ἱερεύς·* Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

*Ὁ διάκονος·* Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.
Μνήσθητί μου, δέσποτα ἅγιε.

*Ὁ ἱερεύς·* Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ διάκονος·* Ἀμήν.

*Καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ ἱερέως ἐξέρχεται ἐν τῷ συνήθει τόπῳ καὶ ἅμα τῇ λήξει τοῦ Χερουβικοῦ ὕμνου λέγει*

## τὰ Πληρωτικά

*Ὁ Διάκονος·* Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

*De diaken zegt met gebogen hoofd:*

d Bid voor mij, heilige heer.

p De Heilige Geest zal over u komen,
en de kracht van de Allerhoogste
zal u overschaduwen.

d De Geest zelf moge met ons dienen
alle dagen van ons leven.
Gedenk mij, heilige heer.

p De Heer God gedenke u in Zijn koninkrijk,
immer, nu en altijd, en in de eeuwen der eeuwen.

d Amen.

*Hij kust de rechterhand van de priester, gaat door de noorddeur het altaar uit naar zijn gebruikelijke plaats voor de*

## VRAGENDE LITANIE

D Laten wij ons gebed tot de Heer voltooien.

K Heer, ontferm U. *(en na de volgende beden)*

D Voor de hier neergelegde kostbare Gaven, bidden wij de Heer.

Voor dit heilig Godshuis en voor hen die er met geloof, eerbied en vreze Gods binnentreden, bidden wij de Heer.

Om bevrijding uit alle verdrukking, toorn, gevaar en nood, bidden wij de Heer.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*Ὁ λαός·* Παράσχου Κύριε.

*Ὁ Διάκονος·* Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Της παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοὶ Κύριε.

Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

Dat de gehele dag volmaakt, heilig, vredig en zonder zonde moge zijn, vragen wij de Heer.

K Verleen, o Heer. *Na iedere bede.*

D Om een engel van vrede, een trouwe gids en beschermer van onze zielen en lichamen, vragen wij de Heer.

Om vergeving en kwijtschelding van onze zonden en overtredingen, vragen wij de Heer.

Om al wat goed en nuttig is voor onze zielen en om vrede voor de wereld, vragen wij de Heer.

Dat wij de overige tijd van ons leven in vrede en inkeer mogen doorbrengen, vragen wij de Heer.

Dat het einde van ons leven christelijk, smarteloos, zonder reden tot schaamte en vredig moge zijn en om een goede verantwoording voor de vreeswekkende rechterstoel van Christus, vragen wij.

Onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria, met alle heiligen indachtig, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

*Ὁ ἱερεὺς ἀναγινώσκει τὴν, μετὰ τὴν ἐν τῇ ἁγίᾳ Τραπέζῃ ἀπόθεσιν τῶν θείων Δώρων,*

## Εὐχὴν τῆς Προσκομιδῆς

*Ὁ Ἱερεύς·* Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτὴν , ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου. Εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου Μυστηρίων, πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος. Ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ Θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην , καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωϋσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς. Ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου Ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ Δῶρα ταῦτα, ἐν τῇ χρηστότητί σου, Κύριε, ἵνα, καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

*De priester zegt het gebed 'na het plaatsen van de Gaven op het Altaar'*

## het Gebed van de Proskomidie

P Heer onze God, Die ons geschapen hebt en ons dit leven hebt binnengeleid, Die ons wegen tot redding getoond hebt en Die ons de openbaring geschonken hebt van hemelse Mysteriën: Gij zijt het Die ons voor dit dienstwerk hebt aangesteld door de kracht van Uw Heilige Geest. Verleen ons daarom, Heer, dat wij dienaren worden van Uw Nieuwe Verbond, liturgen van Uw heilige Mysteriën. Aanvaard ons volgens de overvloed van Uw ontferming, nu wij tot Uw heilig Altaar naderen, opdat wij waardig mogen worden U dit geestelijke en onbloedige offer aan te bieden, voor onze zonden en die welke het volk in onwetendheid begaat. En wanneer Gij dit aanvaard hebt op Uw heilig, hemels en geestelijk Altaar tot een welriekende geur, zend ons dan daarvoor de genade van Uw Heilige Geest. Zie op ons neer, o God, en op deze eredienst en aanvaard deze zoals Gij de gaven van Abel hebt aanvaard, de offers van Noach, de brandoffers van Abraham, de priesterlijke offers van Mozes en Aäron, en de vrede-offers van Samuel. Zoals Gij deze ware eredienst aanvaard hebt van Uw heilige apostelen, aanvaard zo ook in Uw goedheid deze Gaven, o Heer, uit de handen van ons zondaars. Wanneer Gij ons waardig geacht hebt Uw heilig Altaar onberispelijk te bedienen, mogen wij dan het loon verkrijgen van de trouwe en verstandige rentmeesters op de vreeswekkende dag van Uw rechtvaardige vergelding.

*Ὁ Ἱερεύς ἐκφώνως:* Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἱερεύς·* Εἰρήνη πᾶσι.

*Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

*Ὁ Διάκονος·* Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

*Ὁ λαός· Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.*

*Ἐν συλλειτούργῳ· Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου.*

*Ὁ ἱερεὺς προσκυνήσας τρὶς ἀσπάζεται τὰ Ἅγια οὕτως, ὥς εἰσιν ἐπικεκαλυμμένα, λέγων μυστικῶς:*

*Ὁ Ἱερεύς·* Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου.

*Ὁμοίως καὶ ὁ διάκονος συμπροσκυνεῖ.*

*Ἐν συλλειτούργῳ· διδόασιν οἱ Ἱερεῖς τὸν ἀσπασμὸν τῆς εἰρήνης, ἀσπαζόμενοι ἀλλήλους, λέγοντες διαλογικῶς ὁ εἷς:*

Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν.

*Καὶ ὁ ἕτερος:*

Καὶ ἔστι καὶ ἔσται.

P *luid:* Door het mededogen van Uw eniggeboren Zoon, met Wie Gij gezegend zijt, samen met Uw alheilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

P Vrede zij u allen.

K En met uw geest.

D Laat ons elkaar liefhebben om eensgezind te belijden:

K *De Vader, de Zoon en de Heilige Geest, de eenwezenlijke en ondeelbare Drievuldigheid.*

*Maar bij concelebratie: Ik wil U liefhebben, Heer, mijn sterkte. De Heer is mijn steun, mijn toevlucht en mijn bevrijder.*

*De priester buigt driemaal, kust de afgedekte Gaven en bidt zacht:*

P Ik wil U liefhebben, Heer, mijn sterkte. De Heer is mijn steun, mijn toevlucht en mijn bevrijder.

*Ook de diaken buigt drie maal, waar hij staat.*

*Bij concelebratie geven de priesters elkaar de vredeskus. De ene priester zegt:*

Christus is in ons midden.

*Waarop de ander antwoordt:*

Hij is er, en zal er zijn.

*Ὁ διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵσταται τόπῳ, ἀσπάζεται δὲ καὶ τό ὀράριον αὐτοῦ, ἔνθα ἐστὶ Σταυροῦ τύπος, (εἰ δὲ πολλοὶ εἰσιν αἱ διὰκονοι, ἀσππάζονται ὁ εἷς τοῦ ἑτέρου τὸ ὀράριον καὶ λέγουσιν καὶ αὐτοὶ ὁμοίως) καὶ ἐκφωνεῖ·*

*Ὁ Διάκονος·* Τὰς θύρας, τὰς θύρας.
Ἐν σοφίᾳ πρόσχωμεν.

*Ὁ ἱερεύς, ἄρας τὸν Ἀέρα ἐπάνω τῶν τιμίων δώρων, κινεῖ αὐτὸν ἀνοικτόν ἠρέμως, εἶτα διπλώσας ἀποτίθησι μετὰ τῶν ἑτερων καλυμμάτων, λέγων καθ' ἑαυτὸν τὸ Πιστεύω.*

*Ὁ λαός·* **Πιστεύω** εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.
Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.
Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.
Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα.
Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρα κατὰ τὰς Γραφάς.
Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

*De diaken buigt op de plaats waar hij staat en kust het kruis op zijn oraar. (Indien er meerdere diakens zijn, kust ieder zijn oraar en zij kussen elkaar ook op de schouders en zeggen hetzelfde als de priesters) en hij roept:*

D De deuren, de deuren!
Laat ons in wijsheid aandachtig zijn.

*De priester neemt het grote velum van de Gaven af en beweegt het rustig boven de Gaven, terwijl hij ook de geloofsbelijdenis in zichzelf zegt. Hierna vouwt hij het velum op en legt het bij de andere velums. De eerste der geestelijken of de lezer reciteert rustig en duidelijk de geloofsbelijdenis en ieder van de gelovigen:*

**Ik geloof** in één God:
De almachtige Vader, Schepper van hemel en aarde, van al het zichtbare en onzichtbare.
En in één Heer, Jezus Christus, de eniggeboren Zoon van God, geboren uit de Vader vóór alle eeuwen. Licht uit Licht, ware God uit de ware God, geboren, niet geschapen, één in wezen met de Vader en door Wie alles geworden is. Die om ons, mensen, en om onze verlossing uit de hemel is nedergedaald, en vlees heeft aangenomen door de Heilige Geest uit de Maagd Maria, en mens geworden is. Die voor ons onder Pontius Pilatus gekruisigd is, geleden heeft en begraven is; Die opgestaan is op de derde dag volgens de schriften; Die opgevaren is ten hemel en zetelt aan de rechterhand van de Vader; Die zal wederkomen in heerlijkheid, om levenden en doden te oordelen, en aan Wiens Rijk geen einde zal zijn.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.
Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.
Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

*Ὁ Διάκονος·* Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν Ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

*Ὁ λαός·* Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

*Ὁ διάκονος εἰσέρχεται διὰ τῆς ὡραίας πύλης εἰς τὸ Ἱερόν.*

*Ὁ ἱερεύς ῥιπίζων τὰ Ἅγια, ἐκφωνεῖ:*

*Ὁ Ἱερεύς·* Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς
καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος

*Καὶ στραφεὶς πρὸς τὸν λαὸν εὐλογεῖ αὐτὸν διὰ τοῦ Ἀέρος.*

\+ εἴη μετὰ πάντων ὑμῶν.

*Ὁ λαός·* Καὶ μετὰ τοῦ πνεύματός σου.

*Ὁ ἱερεύς, ὑψῶν ἀμφοτέρας τὰς χεῖρας, ἐκφωνεῖ:*

*Ὁ Ἱερεύς·* Ἄνω σχῶμεν τὰς καρδίας.

*Ὁ λαός·* Ἔχομεν πρὸς τὸν Κύριον.

En in de Heilige Geest, Heer en levendmaker, Die uitgaat van de Vader, Die aanbeden en verheerlijkt wordt tezamen met de Vader en de Zoon, Die door de profeten gesproken heeft. In één heilige, katholieke en apostolische Kerk. Ik belijd één doop tot vergeving van zonden. Ik verwacht de opstanding van de doden, en het leven van de komende eeuwigheid. Amen.

## De Anafora

D Laat ons eerbiedig staan; laat ons met vreze staan; laat ons aandachtig zijn om het heilig Offer in vrede op te dragen.

K Barmhartigheid, vrede, een offer van lof.

*De diaken gaat het altaar binnen, buigt zich drie keer.*

*De priester maakt met het velum een kruisteken boven de kelk, terwijl hij zegt:*

P De genade van onze Heer Jezus Christus,
de liefde van God de Vader,
en de gemeenschap van de Heilige Geest

*hij draait zich om en zegent het volk met het velum in zijn hand.*

\+ zij met u allen.

K En met uw geest.

*met opgeheven handen:*

P Omhoog de harten!

K Wij hebben ze bij de Heer.

*Καὶ στραφεὶς πρὸς ἀνατολὰς λέγει·*

*Ὁ Ἱερεύς·* Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

*Ὁ λαός·* Ἄξιον καὶ δίκαιον.

*Ὁ Ἱερεύς (μυστικῶς)·* Ὁ Ὢν, Δέσποτα, Κύριε Θεέ, Πάτερ Παντοκράτορ προσκυνητέ, ἄξιον ὡς ἀληθῶς, καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεόν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν, ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καὶ τὶς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου; ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου; ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ καὶ γῆς, καὶ πάσης κτίσεως, ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος, τῆς ἐλπίδος ἡμῶν, ὃς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς σε τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινός, ἡ πρὸ αἰώνων σοφία, ζωή, ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀληθινόν, παρ' οὗ τὸ Πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ

*naar het oosten gewend:*

P Laat ons de Heer dankzeggen!

K Het is waardig en recht.[36]

P *zacht* Gij, de Zijnde, Meester, Heer, God, vererenswaardige Vader, Albeheerser: het is waarlijk waardig en recht, overeenkomstig de verhevenheid van Uw heiligheid, U te loven, U te bezingen, U te zegenen, U te aanbidden, U te danken en U te verheerlijken als de alleen werkelijk zijnde God, en om U met een vermorzeld hart en een deemoedige geest deze geestelijke eredienst op te dragen: want Gij zijt het Die ons de kennis van Uw waarheid hebt geschonken.

Wie is in staat Uw machtige daden onder woorden te brengen? Wie kan al Uw lof doen horen of al Uw wonderdaden uit alle tijden verhalen. Meester van het heelal, Heer van hemel en aarde, van heel de zichtbare en onzichtbare schepping, Gij zetelt op de troon der heerlijkheid, en ziet neer tot in de diepste afgrond. Beginloze, onzichtbare, onvatbare, onomschrijfbare, onveranderlijke Vader van onze Heer Jezus Christus, onze grote God en Verlosser, onze hoop, Die de ikoon is van Uw goedheid, het gelijkvormig zegelbeeld, Die in Zichzelf U, de Vader, laat zien. Hij is het levende Woord, de waarachtige God, de vóóreeuwige wijsheid. Hij is het leven, de heiliging en de kracht. Hij is het waarachtige licht, door Wie de Heilige Geest zich heeft geopenbaard. Deze is de Geest der waarheid, de genadegave van het zoonschap Gods, het onderpand

ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ' οὗ πᾶσα κτίσις λογική τε καὶ νοερά, δυναμουμένη, σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σά· Σὲ γὰρ αἰνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, καὶ τὰ πολυόμματα Χερουβείμ, Σοὶ παρίστανται κύκλῳ τὰ Σεραφείμ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον, ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις,

*Ἐκφώνως* τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.

*Ὁ λαός·* Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

*Τούτου λεγομένου, λαβὼν ὁ Διάκονος τὸν ἀστερίσκον ἐκ τοῦ ἁγίου δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ καί, ἀποσπογγίσας καὶ ἀσπασάμενος αὐτόν, ἀποτίθησι μετὰ τοῦ ἀέρος. Ὁ ἱερεὺς συνεχίζει ἐπευχόμενος μυστικῶς:*

*Ὁ Ἱερεύς·* Μετὰ τούτων τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ, ὡς ἀληθῶς, καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγασες ἡμῖν· πλάσας γὰρ

van ons toekomstig erfdeel, de eersteling der eeuwige goederen. Hij is de levendmakende kracht, de bron der heiliging, Die heel de redelijke en geestelijke schepping in staat stelt U te aanbidden en U de nooit eindigende lofzang op te zenden. Want het heelal is aan U onderworpen. U loven immers de engelen, de aartsengelen, de tronen, de heerschappijen, de vorsten, de machten, de krachten, en de cherubijnen met vele ogen. Rondom U staan de serafijnen; ieder met zes vleugels; met twee vleugels bedekken zij hun aangezicht, met twee hun voeten, en opwiekend met de andere twee, roepen zij tot elkander met nooit-rustende stemmen de onophoudelijke lofzang,

*luid:* het triomflied zingend, roepend, luid jubelend en zeggend:

K Heilig, heilig, heilig, de Heer Sabaoth: vol zijn hemel en aarde van Uw heerlijkheid. Hosanna in den hoge. Gezegend Hij Die komt in de Naam des Heren, Hosanna in den hoge.

*Ondertussen neemt de diaken voorzichtig de ster van de heilige diskos af, veegt haar af, vouwt haar op en legt haar terzijde. Hierna gaat hij door met het bewaaieren van de Gaven. De priester bidt zacht:*

P Met deze zalige krachten, menslievende Heer, roepen ook wij, zondaars, en zeggen:

Waarlijk, Gij zijt heilig, alheilig, en de luister van Uw heiligheid is onmetelijk. Gij zijt heilig in al Uw werken, en met rechtvaardigheid en waarachtig oordeel hebt Gij alles voor ons doen geschieden. Gij hebt immers de mens geschapen door leem van de aarde te nemen, en hebt hem geëerd met Uw beeld, o God. Gij hebt hem

τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς, καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν, ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου, ἐπαγγειλάμενος αὐτῷ, ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτόν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξωρίσας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεός, ἐκ τοῦ Παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου· οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας, ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ' ἐπεσκέψω πολυτρόπως, διὰ σπλάγχνα ἐλέους σου. Προφήτας ἐξαπέστειλας, ἐποίησας δυνάμεις διὰ τῶν Ἁγίων σου, τῶν καθ' ἑκάστὴν γενεὰν εὐαρεστησάντων σοι, ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν Προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν, νόμον ἔδωκας εἰς βοήθειαν, Ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθε τὰ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησας, ὅς, ὢν ἀπάγαυσμα τῆς δόξης σου, καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ Θεῷ καὶ Πατρί, ἀλλά, Θεὸς ὢν προαιώνιος, ἐπὶ

geplaatst in het paradijs der geneugten, en hem het onsterfelijke leven en het genot van de eeuwige goederen beloofd, als hij Uw geboden zou onderhouden. Maar de mens was ongehoorzaam aan U, de waarachtige God, die hem geschapen had; hij werd verleid door het bedrog van de slang en zijn eigen zonden brachten hem de dood.

Toen hebt Gij hem in Uw rechtvaardig oordeel verbannen vanuit het paradijs naar deze wereld, en Gij liet hem terugkeren tot de aarde waaruit hij genomen was. Maar tegelijk hebt Gij voor hem de verlossing door wedergeboorte beschikt in Uw Christus zelf. Gij hebt U niet geheel en al afgewend van Uw schepsel, dat Gij geformeerd hebt, o Goede, noch hebt Gij het werk van Uw handen vergeten, maar in Uw tedere ontferming hebt Gij het op velerlei wijze bezocht. Gij hebt profeten uitgezonden en wondere daden verricht door Uw heiligen, die U in elk geslacht welgevallig zijn geweest; Gij hebt tot ons gesproken door de mond van Uw dienaren, de profeten, die ons de verlossing, die komen zou, voorspelden. Gij hebt ons de wet geschonken als hulp en engelen aangesteld als beschermers. Toen de volheid der tijden gekomen was, hebt Gij tot ons gesproken door Uw Zoon zelf, door Wie Gij de eeuwen geschapen hebt. Hij is de afstraling van Uw heerlijkheid, het zegelbeeld van Uw wezen, en Hij houdt het heelal in stand door Zijn machtig woord. Hij beschouwde het niet als een aanmatiging gelijk te zijn aan U, God en Vader. Maar ofschoon Hij God was vóór alle eeuwigheid, is

τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ Παρθένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, ηὐδόκησεν ὁ μονογενής σου Υἱός, ὁ ὢν ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καὶ Πατρός, γενόμενος ἐκ γυναικός, τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ σου, καὶ ἐμπολιτευσάμενος τῷ κόσμω τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρός, κτησάμενος ἡμᾶς ἑαυτῶ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ Πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτόν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν, καὶ κατελθὼν διὰ τοῦ Σταυροῦ εἰς τόν Ἅιδην ἵνα πληρώσῃ ἑαυτοῦ τὰ πάντα, ἔλυσε τάς ὀδύνας τοῦ θανάτου, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγόν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων·

Hij op aarde verschenen en is omgegaan met de mensen. Hij heeft vlees aangenomen uit de heilige Maagd, en zich ontledigd door de gestalte van een slaaf aan te nemen. Hij heeft de vorm aangenomen van ons nederig lichaam, om ons gelijkvormig te maken aan de ikoon van Zijn heerlijkheid. Want omdat door de mens de zonde in de wereld was gekomen en door de zonde de dood, heeft het behaagd aan Uw eniggeboren Zoon, - die is in de schoot van U, God de Vader - geboren te worden uit een vrouw: de heilige Moeder Gods en altijdmaagd Maria. Hij is geboren onder de wet, om de zonde in Zijn eigen vlees te veroordelen; om hen die in Adam sterven, weer levend te maken in Uw Christus Zelf. Hij was een medeburger van deze wereld, Hij gaf ons voorschriften ter verlossing. Nadat Hij ons had losgemaakt uit de dwaling der afgoderij, bracht Hij ons tot het kennen van U, de waarachtige God en Vader. Hij heeft ons gemaakt tot Zijn uitverkoren volk, een koninklijk priesterschap, een heilige natie. Hij heeft ons door water gereinigd en ons geheiligd door de Heilige Geest. Hij heeft Zichzelf gegeven als losprijs voor de dood, waardoor wij gevangen gehouden werden, verkocht door de zonde. Nadat Hij door Zijn kruisdood in de hades was afgedaald om alles met Zichzelf te vervullen, heeft Hij de door de dood veroorzaakte smarten ontbonden. Hij is opgestaan op de derde dag, en heeft zo voor alle vlees de weg gebaand tot de opstanding uit de doden. Het was immers niet mogelijk dat de Leidsman ten leven vastgehouden zou worden door het

καὶ ἀνελθὼν εἰς τοὺς οὐρανούς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς, ὃς καὶ ἥξει, ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους ταῦτα, ἃ προτεθείκαμεν ἐνώπιόν σου, κατὰ τὰς αὐτοῦ ἐντολάς. Μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον, καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτί, ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας,

*ἐκφώνως·*

**ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς**
**καὶ Ἀποστόλοις, εἰπών·**
**Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ Σῶμα,**
**τὸ ὑπὲρ ὑμῶν κλώμενον**
**εἰς ἄφεσιν ἁμαρτιῶν.**

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἱερεὺς ἐπευχόμενος λέγει·* Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

*ἐκφώνως·*

**ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς**
**καὶ Ἀποστόλοις, εἰπών·**
**Πίετε ἐξ αὐτοῦ πάντες.**
**Τοῦτό ἐστι τὸ Αἷμα μου, το τῆς Καινῆς Διαθήκης,**
**τὸ ὑπὲρ ἡμῶν καὶ πολλῶν ἐκχυνόμενον**
**εἰς ἄφεσιν ἁμαρτιῶν.**

*Ὁ λαός·* Ἀμήν.

bederf. Zo werd Hij de eersteling der ontslapenen, de eerstgeborene uit de doden, opdat Hij van allen in alle opzichten de eerste zou zijn. Opgevaren ten hemel, zette Hij zich aan de rechterhand van Uw verhevenheid in den hoge. Hij zal komen om ieder volgens zijn werken te vergelden. Hij heeft ons van Zijn verlossend lijden deze gedenktekens achtergelaten, die wij voor U neergelegd hebben volgens Zijn opdracht. Want toen Hij opging naar Zijn vrijwillig, roemrijk en levenbrengend sterven, nam Hij, in de nacht waarin Hij Zichzelf overleverde voor het leven der wereld, brood in Zijn heilige, onbevlekte handen, droeg het op aan U, God de Vader, dankte, zegende, heiligde en brak het,

*de priester en diaken wijzen naar de Gaven*

*luid:* **en Hij gaf het aan Zijn heilige leerlingen**
**en apostelen, zeggend:**
**Neemt, eet, dit is Mijn Lichaam,**
**dat voor u gebroken wordt**
**tot vergeving van zonden.**

K Amen.

P *zacht:* Evenzo nam Hij de kelk met de vrucht van de wijnstok, lengde deze aan, dankte, zegende, heiligde,

*luid:* **en gaf deze aan Zijn heilige leerlingen**
**en apostelen zeggend:**
**Drinkt allen hieruit,**
**dit is Mijn Bloed, van het nieuwe Verbond,**
**dat voor u en voor velen vergoten wordt**
**tot vergeving van zonden.**

K Amen.

*Ὁ Ἱερεὺς ἐπευχόμενος λέγει·* Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν Ἄρτον τοῦτον, καὶ τὸ Ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν Ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ Παθημάτων, τοῦ ζωοποιοῦ Σταυροῦ, τῆς τριημέρου Ταφῆς, τῆς ἐκ νεκρῶν Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς Καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ Παρουσίας,

*ἐκφώνως·*

**Τὰ Σὰ ἐκ τῶν Σῶν**
**σοὶ προσφέρομεν**
**κατὰ πάντα καὶ διὰ πάντα.**

*Ὁ ἱερεὺς ὑψοῖ τὰ ἅγια διασταυρῶν τὰς χεῖρας.*

*Ὁ λαός·* Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

*Ὁ Ἱερεύς κλινόμενος ἐπεύχεται·* Διὰ τοῦτο, Δέσποτα, Πανάγιε καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν (οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς), ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, Ἅγιε, Ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτά, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι,

*De priester vervolgt met gebogen hoofd*

P Doet dit tot Mijn gedachtenis: want zo dikwijls gij dit Brood eet en deze Kelk drinkt, verkondigt gij Mijn dood, en belijdt gij Mijn opstanding. Daarom, Heer, gedenken ook wij Zijn verlossend lijden; het levenbrengend kruis; de drie dagen in het graf; de opstanding uit de doden; de hemelvaart; het zetelen aan de rechterhand van U, God de Vader, en Zijn roemrijke, ontzagwekkende wederkomst; en

*luid:* **bieden wij U aan:**
**het Uwe van het Uwe,**
**in alles en voor alles.**

*Tijdens deze woorden heft hij de Gaven op.* [37]

K U bezingen wij, U zegenen wij, U danken wij, o Heer, en wij bidden U, onze God.

P Daarom, alheilige Heer, wagen ook wij te naderen tot Uw heilig Altaar, om daarop de symbolen te plaatsen van het heilig Lichaam en Bloed van Uw Christus. Gij hebt ons, Uw zondige onwaardige dienaren, waardig geacht de liturgie te vieren aan Uw heilig Altaar, niet om onze gerechtigheid - wij hebben immers niets goeds gedaan op aarde -, maar om Uw barmhartigheid en ontferming, die Gij zo rijkelijk over ons hebt uitgestort en wij bidden en smeken U, o Heilige der Heiligen, dat in Uw genadige goedheid Uw Heilige Geest over ons kome en over deze voor U neergelegde Gaven. Hij moge deze zegenen en heiligen,

*Ὁ διάκονος·* *Εὐλόγησον, δέσποτα, τὸν ἅγιον Ἄρτον.*

*Ὁ Ἱερεύς σφραγίζει τὸν ἅγιον Ἄρτον καὶ λέγει:*

*Ὁ Ἱερεύς·* + **τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,**

*Ὁ Διάκονος·* Ἀμήν.

*Ὁ Διάκονος·* *Εὐλόγησον, δέσποτα, τὸ ἅγιον Ποτήριον.*

*Ὁ ἱερεύς εὐλογῶν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγει·*

*Ὁ Ἱερεύς·* + **τὸ δὲ ποτηρίον τοῦτο αὐτὸ τὸ τίμιον Αἵμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.**

*Ὁ διάκονος·* Ἀμήν.

*Ὁ διάκονος·* *Εὐλόγησον, δέσποτα, ἀμφότερα τὰ ἅγια.*

*Ὁ ἱερεύς εὐλογῶν ἀμφότερα τὰ ἁγια, λέγει·*

*Ὁ Ἱερεύς·* + **τὸ ἐκχυθὲν ὑπερ της τοῦ κόςμου ζωῆς καὶ σωτηρίας.**

*Ὁ διάκονος·* Ἀμήν· Ἀμήν· Ἀμήν.

d *Zegen, heer, het heilige Brood.*

*de priester zegent met een kruisteken het heilig Brood:*

P + **en Hij make dit Brood waarlijk het kostbaar lichaam van onze Heer en God en Verlosser Jezus Christus,**

D Amen

d *Zegen, heer, de heilige Kelk.*
*De priester zegent de heilige Kelk:*

P + **en deze kelk waarlijk het kostbaar Bloed van onze Heer en God en Verlosser Jezus Christus,**

D Amen

d *Zegen, heer, beide heilige Gaven.*
*De priester zegent beide heilige Gaven zeggend:*

P + **dat vergoten is voor het leven en de verlossing van de wereld.** *

D Amen, amen, amen.

* *Noot van de vertaler: Jammergenoeg is "**ze veranderend door Uw Heilige Geest**", uit de Liturgie van de H. Joh. Chrysostomos in sommige uitgaven in de Basilius-Liturgie toegevoegd, en zijn priesters soms huiverig die zin daarom weg te laten. In de Chrysostomos-Liturgie richt de priester zich tot de Vader, smeekt dat Hij make .... en ze veranderend door Uw Heilige Geest. In de Basilius-Liturgie bidt de priester tot de Vader dat de Heilige Geest moge komen om de Gaven 'te maken tot Lichaam .. en tot Bloed'.*
*voetnoot in het Griekse Mega Euchologion:*
*het "**ze veranderend door Uw Heilige Geest**", dat is overgenomen uit de Chrysostomos-Liturgie, en dat, als je naar de zinsbouw kijkt, absoluut niet thuishoort in de Basilius Liturgie, is een zin "die een onwetend persoon gewaagd heeft toe te voegen", zoals de heilige Nikodemos van de Athos aanduidde in een voetnoot in zijn "Pidalion" (Laodicea, Kanon 19).*

*Καὶ λαβὼν τὸν δεδιπλωμένον Ἀέρα, ῥιπίζει δι' αὐτοῦ τὰ Ἅγια. Ὁ ἱερεὺς κλινόμενος ἐπευχόμενος*

*Ὁ Ἱερεύς·* Ἡμᾶς δὲ πάντας, τοὺς ἐκ τοῦ ἑνὸς Ἄρτου καὶ τοῦ Ποτηρίου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος Ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρῖμα, ἢ εἰς κατάκριμα ποιήσαις μετασχεῖν τοῦ ἁγίου Σώματος, καὶ Αἵματος τοῦ Χριστοῦ σου, ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν, Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

*Καὶ θυμιῶν τὴν ἁγίαν Τράπεζαν κατέμπροσθεν, λέγει ἐκφώνως:* Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

*Καὶ ἐπιδίδωσι τὸ θυμιατήριον τῷ διακόνῳ, ὅστις θυμιῶν κύκλῳ τὴν ἁγίαν Τράπεζαν, μνημονεύει καθ᾽ ἑαυτὸν, ὧν ἄν βούλεται ζώντων καὶ τεθνεώτων.*

*Ὁ λαός·* *Επὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις. Ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις δόξα σοι. ἤ τόν εἱρμὸν τῆς θ᾽ ᾠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς.*

*Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν κεκοιμένων.*

*En hij bewaaiert de Gaven met het opgevouwen grote velum.*

P Verenig ons allen, die deel hebben aan het ene Brood en aan de éne Kelk, met elkaar in de gemeenschap van de éne Heilige Geest. Laat niemand van ons tot oordeel of veroordeling deelnemen aan het heilig Lichaam en Bloed van Uw Christus. Maar laat ons barmhartigheid en genade vinden, met alle heiligen die U vanaf het begin der tijden welgevallig zijn geweest: voorvaders, vaders, patriarchen, profeten, apostelen, predikers, evangelisten, martelaren, belijders, leraren, en elke rechtvaardige geest die in geloof tot volmaaktheid gekomen is.

*Hij bewierookt de Gaven, staande voor het Altaar en zegt:*
P *luid* In het bijzonder voor onze alheilige, ongerepte, hooggezegende, glorierijke Vrouwe, de Moeder Gods en altijd Maagd Maria!

*Hij geeft het wierookvat aan de diaken, die het Altaar rondom bewierookt en bij zichzelf gedenkt wie hij wil van de levenden en de doden [hij heft het antidoron op boven de H. Gaven]* [36]

K *Over u, begenadigde,* [38] *verheugt zich de hele schepping, het engelenkoor en het geslacht der mensen, geheiligde tempel en geestelijk paradijs, roem der maagden, uit wie God vlees heeft aangenomen en uit wie Hij kind is geworden, onze God, De Zijnde vòòr alle eeuwen. Uw schoot maakte Hij immers tot een troon en uw binnenste werd wijder dan de hemelen. Over u, begenadigde, verheugt zich de hele schepping, ere zij u.*
*of de irmos van de 9e ode van de canon van het feest.*

*De diaken leest de dyptieken der overledenen.*

*Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς:*

*Ὁ Ἱερεύς·* Τοῦ ἁγίου Ἰωάννου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου *(τοῦ δεῖνος)*, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου *(καὶ μνημονεύει ἐνταῦθα ὀνομαστὶ καὶ ὧν βούλεται τεθνεώτων)*, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι σοῦ δεόμεθα· Μνήσθητι, Κύριε, τῆς Ἁγίας σου Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτήν, ἣν περιεποιήσω τῷ τιμίῳ Αἵματι τοῦ Χριστοῦ σου, καὶ τὸν ἅγιον Οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος·

Μνήσθητι, Κύριε, τῶν τὰ Δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν, καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν·

Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων. Ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσμασι, χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων, τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων, τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα.

Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων.

*De priester bidt met gebogen hoofd*

P Ook met de heilige Johannes, de profeet, voorloper en doper; de heilige, alomgeprezen apostelen; de heilige *(van de dag)*, van wie wij de gedachtenis vieren; en al Uw heiligen: God, zie op ons neer, omwille van hun gebeden.
Gedenk allen die reeds ontslapen zijn in de hoop op de opstanding tot het eeuwige leven *(en hij gedenkt wie hij wil van de overledenen bij naam)*. Schenk hun de rust, onze God, daar waar het licht van Uw aanschijn straalt.
Ook bidden wij U: gedenk, Heer, Uw heilige, katholieke en apostolische kerk, die zich uitstrekt tot alle grenzen der aarde. Schenk vrede aan haar, die Gij U verworven hebt door het kostbaar Bloed van Uw Christus. En versterk dit heilig Godshuis tot aan het einde der tijden.
Gedenk, Heer, hen die U deze Gaven hebben gebracht, en allen voor wie en door wie en om wie zij ze U gebracht hebben.
Gedenk, Heer, hen die goede vrucht dragen en weldoen in Uw heilige kerken en hen die aan de armen denken. Beloon hen met Uw rijke, hemelse genade. Schenk hun voor het aardse het hemelse, voor het tijdelijke het eeuwige, voor het vergankelijke het onvergankelijke.
Gedenk, Heer, hen die verblijven in woestijnen en in de bergen, in spelonken en de holen der aarde.

Μνήσθητι, Κύριε, πάσης ἀρχῆς καὶ ἐξουσίας, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς. Ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς. Χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην, λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοὺς ἀγαθούς, ἐν τῇ ἀγαθότητί σου διατήρησον. Τοὺς πονηρούς, ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου.

Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων, καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.Τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ, τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον, τὰ νήπια ἔκθρεψον, τὴν νεότητα παιδαγώγησον, τὸ γῆρας περικράτησον, τοὺς ὀλιγοψύχους παραμύθησαι, τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε, τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ Ἁγίᾳ σου Καθολικῇ, καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ. Τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον, τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, χηρῶν πρόστηθι, ὀρφανῶν ὑπεράσπισον, αἰχμαλώτους ῥῦσαι, νοσοῦντας ἴασαι. Τῶν ἐν βήμασι, καὶ μετάλλοις, καὶ ἐξορίαις, καὶ πικραῖς δουλείαις, καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων, μνημόνευσον, ὁ Θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας, καὶ τῶν ἀγαπώντων ἡμᾶς καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ παντὸς τοῦ Λαοῦ σου μνήσθητι, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας

Gedenk, Heer, hen die in maagdelijkheid, godsvrucht en askese een ingetogen leven leiden. Gedenk, Heer, hen die ons regeren, bekrans hen met het wapen der waarheid en geef hun overwinning over al het kwade. Schenk hun een diepe en bestendige vrede. Spreek in hun hart goed over Uw kerk en over heel Uw volk, opdat wij in die kalmte stil en rustig een godvruchtig en waardig leven mogen leiden. Behoud de goeden in Uw goedheid, en breng in Uw goedertierenheid de slechten tot het goede. Gedenk, Heer, heel het rondomstaande volk, en hen die om een goede reden afwezig zijn. Ontferm U over hen en over ons, volgens de overvloed van Uw barmhartigheid. Vul hun voorraadkamers met al het goede, en bewaar hun huwelijk in vrede en eensgezindheid. Geef wasdom aan de kinderen; onderricht de jeugd; sterk de ouderdom. Troost de kleinmoedigen; breng de verstrooiden weer bijeen; leid de verdwaalden terug en herenig hen met Uw heilige, katholieke en apostolische kerk. Bevrijd hen die gekweld worden door onreine geesten; vaar mee met de varenden, reis mee met de reizenden; sta de weduwen bij en bescherm de wezen; bevrijd de krijgsgevangenen en genees de zieken. God, gedenk hen die terecht staan; de dwangarbeiders en ballingen; en hen die in bittere slavernij lijden onder allerlei dwang, verdrukking en moeilijke omstandigheden; en gedenk allen die Uw grote barmhartigheid nodig hebben; hen die ons liefhebben en hen die ons haten; en hen die ons, onwaardigen, gevraagd hebben voor hen te bid-

ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. Καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν, δι' ἄγνοιαν ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεός, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν, καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ.

Σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον, καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον, καὶ τὴν χρείαν αὐτοῦ. Ῥῦσαι, Κύριε, τὴν πόλιν καὶ χώραν ταύτην , καὶ πᾶσαν πόλιν, καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

*ἐκφώνως·* Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(Ἀθηναγόρου)*, ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

*Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν ζώντων, εἶτα δὲ ἐκφωνει*

*Ὁ Διάκονος·* Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

*Ὁ λαός·* Καὶ πάντων καὶ πασῶν.

den. Heer onze God, gedenk ook heel Uw volk; stort de rijkdom van Uw barmhartigheid over allen uit en geef aan allen wat zij vragen voor hun redding. En hen die wij niet herdacht hebben, door onbekendheid, of vergeetachtigheid, of door het grote aantal der namen: denk daar Zelf aan, o God. Gij kent immers ieder van gestalte en bij naam vanaf de moederschoot. Want Gij zijt de hulp der hulpelozen, de hoop der wanhopigen, de redder der schipbreukelingen, de thuishaven der varenden, en de geneesheer der zieken. Wees alles voor allen, Gij die immers ieder kent, met zijn verlangens en zijn gezin en zijn behoeften. Heer, behoed deze stad en elke stad en streek, voor hongersnood, besmettelijke ziekte, aardbeving, overstroming, brand, zwaard, vijandige inval en burgeroorlog.

*luid:* Gedenk, Heer, allereerst onze aartsbisschop *(Athenagoras)*[39], en geef dat hij voor Uw heilige kerken nog lang in vrede ongedeerd, eervol en in goede gezondheid moge leven, en het woord van Uw waarheid recht moge verkondigen.

*De diaken leest de diptieken der levenden, daarna roept hij uit:*

D En hen die ieder in zijn gedachten heeft,
en allen en allen.

K En allen en allen.

*Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς:*

*Ὁ Ἱερεύς·* Μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος, συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων Δώρων. Μνήσθητι, Κύριε, τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ Τάγματος, καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, Κύριε, ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς, εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι, ὄμβρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν δώρησαι. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, παῦσον τὰ σχίσματα τῶν Ἐκκλησιῶν, σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν, τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος. Πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου, υἱούς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας, τὴν σὴν εἰρήνην, καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

*ἐκφώνως·* Καὶ δὸς ἡμῖν, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

P Gedenk, Heer, alle orthodoxe bisschoppen die het woord van uw waarheid recht verkondigen. Gedenk, Heer, in de overvloed van Uw barmhartigheid, ook mij, onwaardige. Vergeef mij iedere zonde die ik gewild en ongewild begaan heb. Laat door mijn zonden de genade van Uw Heilige Geest niet afgehouden worden van deze voor U neergelegde Gaven. Gedenk, Heer, de priesters en diakens in Christus, en allen die voor Uw dienst gewijd zijn. Maak niemand van ons die Uw heilig Altaar omringen te schande. Heer, bezoek ons in Uw goedheid. Verschijn ons, in de overvloed van Uw barmhartigheid. Geef ons gunstig weer; schenk de aarde milde regen voor een goede oogst; zegen de jaarkrans van Uw goedheid. Maak een einde aan de scheuringen in de kerken. Doof de opstandige razernij der heidenen. Doe de opkomende ketterijen teniet door de kracht van Uw Heilige Geest. Neem ons allen op in Uw koninkrijk. Maak ons tot zonen van het licht, tot zonen van de dag. Schenk ons Uw vrede en Uw liefde, Heer onze God: want Gij hebt ons alles geschonken.

*luid:*

P En geef ons, om met één mond en één hart Uw alomgeëerde en hoogverheven Naam te verheerlijken en te bezingen, van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν:*

*Ὁ Ἱερεύς·* + Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

*Ὁ λαός·* Καὶ μετὰ τοῦ πνεύματός σου.

*Ὁ διάκονος, ἐξελθών καί στάς ἐν τῷ συνήθει τόπῳ, λέγει·*

*Ὁ Διάκονος·* Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*Ὁ λαός·* Παράσχου Κύριε.

*Ὁ Διάκονος·* Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

*De priester wendt zicht tot het volk en zegent:*

P + De barmhartigheid van onze grote God en Redder Jezus Christus zal met u allen zijn.

K En met uw geest.

*De diaken verlaat het altaar en zegt op zijn gebruikelijke plaats:*

D Laat ons, na de gedachtenis van alle heiligen, nogmaals en nogmaals in vrede bidden tot de Heer.

K Heer, ontferm U. *(Na iedere bede)*

D Voor de aangeboden en geheiligde, kostbare Gaven, bidden wij de Heer.

Dat onze menslievende God, Die deze Gaven heeft aanvaard op Zijn heilig, hemels, onstoffelijk Altaar, tot een welriekende geestelijke geur, ons daarvoor de goddelijke genade en de gave van de Heilige Geest moge toezenden, bidden wij.

Om bevrijding uit alle verdrukking, toorn, gevaar en nood, bidden wij de Heer.

Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

Dat de gehele dag volmaakt, heilig, vredig en zonder zonde moge zijn, vragen wij de Heer.

K Verleen, o Heer. *Na iedere bede.*

D Om een engel van vrede, een trouwe gids en beschermer van onze zielen en lichamen, vragen wij de Heer.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοί, Κύριε.

*Τούτων λεγομένων, ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς:*

*Ὁ Ἱερεύς·* Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας, καὶ ποιεῖς μεθ' ἡμῶν. Σύ, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξόμενος τὰ Δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δίδαξον ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ Σώματι καὶ Αἵματι τοῦ Χριστοῦ σου. Καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστόν, κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ Ἁγίου σου Πνεύματος. Ναί, ὁ

Om vergeving en kwijtschelding van onze zonden en overtredingen, vragen wij de Heer.

Om al wat goed en nuttig is voor onze zielen en om vrede voor de wereld, vragen wij de Heer.

Dat wij de overige tijd van ons leven in vrede en inkeer mogen doorbrengen, vragen wij de Heer.

Dat het einde van ons leven christelijk, smarteloos, zonder reden tot schaamte en vredig moge zijn en om een goede verantwoording voor de vreeswekkende rechterstoel van Christus, vragen wij.

Om eenheid van geloof en gemeenschap met de Heilige Geest vragend, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

P God, onze reddende God, leer ons U op waardige wijze te danken voor de weldaden die Gij ons bewezen hebt en ons bewijst. Gij onze God, Die deze Gaven hebt aanvaard, reinig ons van alle smet naar lichaam en geest. Leer ons deze heiliging te voltooien in vreze voor U, opdat wij, wanneer wij met het getuigenis van een zuiver geweten een deel ontvangen van Uw heilige Gaven, één mogen worden met het heilig Lichaam en Bloed van Uw Christus. En wanneer wij deze op waardige wijze ontvangen hebben, moge Christus dan in onze harten wonen, en mogen wij een tempel worden van Uw Heilige Geest. Ja, onze God, maak dat

Θεὸς ἡμῶν, καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων Μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν, ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου, ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

*ἐκφώνως·* Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι Σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν:

*Ὁ λαός·* Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*Ὁ διάκονος ζώννυται τὸ ὀράριον σταυροειδῶς.*

*Ὁ Ἱερεύς·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἱερεύς·* + Εἰρήνη πᾶσι.

*Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

niemand van ons zich bezondigt aan deze ontzagwekkende, hemelse Mysteriën, noch ziek wordt naar lichaam en ziel, door ze onwaardig te ontvangen. Maar geef ons, om tot onze laatste adem waardig deel te nemen aan Uw heilige Mysteriën, tot leeftocht voor het eeuwige leven, en tot een U welgevallige verantwoording voor de vreeswekkende rechterstoel van Uw Christus. Opdat ook wij met al Uw heiligen, die U vanaf het begin der tijden welgevallig zijn geweest, deel krijgen aan Uw eeuwige goederen, die Gij, Heer, bereid hebt voor wie U liefhebben.

*luid* En acht ons waardig, Heer, dat wij vrijmoedig, zonder veroordeling, het wagen U, de hemelse God, als Vader aan te roepen en te zeggen:

*Allen:* Onze Vader, Die in de hemelen zijt, Uw Naam worde geheiligd, Uw Koninkrijk kome, Uw wil geschiede, zoals in de hemel zo ook op aarde, geef ons heden ons dagelijks brood en vergeef ons onze schulden, zoals ook wij onze schuldenaren vergeven, en leid ons niet in verzoeking, maar verlos ons van de boze.

*ondertussen maakt de diaken zijn oraar kruisgewijs vast.*

P Want van U is het koninkrijk, de kracht en de heerlijkheid: van de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

P + Vrede zij u allen.

K En met uw geest.

*Ὁ Διάκονος·* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*Ὁ λαός·* Σοὶ Κύριε.

*Ὁ Ἱερεύς·* Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου τούτων καὶ ζωοποιῶν Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος Ἁγίου κοινωνίαν.

*ἐκφώνως·* Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἱερεύς·* Πρόσχες Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

*Ὁ ἱερεὺς καὶ ὁ διάκονος προσκυνοῦσιν λέγοντες μυστικῶς:*
Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με *(τρίς)*.

D Buigt uw hoofd voor de Heer.

K Voor U, o Heer.

P Meester, Heer, Vader der barmhartigheid, God van alle vertroosting, zegen, heilig, bescherm, bevestig en versterk hen die hun hoofd buigen voor U, en houd hen af van elke slechte daad en breng hen tot ieder goed werk. Acht hen waardig om zonder veroordeling deel te nemen aan Uw ongeschonden en levendmakende Mysteriën, tot vergeving van zonden en tot gemeenschap met Uw Heilige Geest.

*luid:* Door de genade, de barmhartigheid en de mensenliefde van Uw eniggeboren Zoon, met wie Gij gezegend zijt, samen met Uw alheilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

P Sla acht op ons, Heer Jezus Christus onze God, vanuit Uw heilige woning en vanaf de glorietroon van Uw Koninkrijk, en kom ons heiligen, Gij Die in den hoge zetelt met de Vader en hier onzichtbaar bij ons zijt. Verwaardig U om met Uw machtige hand Uw smetteloos Lichaam en Uw kostbaar Bloed aan ons te geven, en door ons aan heel het volk.

*Hierna buigen de priester en de diaken dáár waar zij staan, zeggend:*

God, wees mij zondaar genadig en ontferm U over mij. *(3x)*

*Εἶτα ὁ διάκονος ἐκφωνεῖ:*
*Ὁ Διάκονος·* Πρόσχωμεν.

*Καὶ ὁ ἱερεύς, ὑψῶν τὸν ἅγιον Ἄρτον, ἐκφωνεῖ:*
*Ὁ Ἱερεύς·* Τὰ Ἅγια τοῖς ἁγίοις.

*Ὁ λαός·* Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. *Καὶ εἶτα τὸ κοινωνικόν.*

*Ὁ διάκονος πρὸς τὸν ἱερέα:*
*Ὁ διάκονος·* Μέλισον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

*Ὁ ἱερεύς, μελίζων αὐτὸν εἰς μερίδας τέσσαρας μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει:*

**ΙΣ**

**ΝΙ ΚΑ**

**ΧΣ**

*Ὁ Ἱερεύς·* Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ,
ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος·
ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

*Ὁ διάκονος·* Πλήρωσον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

*Ὁ δὲ Ἱερεύς λαβὼν τὴν ἄνω κειμένην μερίδα, τὴν ἔχουσαν τοὺς χαρακτῆρας ΙΣ, ποιεῖ σὺν αὐτῇ σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου καί, ἐμβάλλλων ταύτην ἐν αὐτῷ, λέγει·*

*Ὁ Ἱερεύς·* Πλήρωμα Πνεύματος Ἁγίου.

*Ὁ διάκονος·* Ἀμήν.

*Wanneer de diaken ziet dat de priester het Lam gaat opheffen:*

D Laat ons aandachtig zijn !

*De priester heft het heilig Lam op:*

P Het Heilige voor de heiligen.

*De diaken gaat het altaar binnen.*

K Eén is heilig, één is Heer, Jezus Christus, tot heerlijkheid van God de Vader. Amen. *Het koor zingt het communievers.*

*De diaken gaat rechts van de priester staan.*

d Breek, heer, het heilige Brood.

*De priester breekt het Brood in vieren, en legt de vier delen kruisgewijs op de heilige diskos:*

**IC**

**NI KA**

**XC**

P Gebroken en gedeeld wordt het Lam Gods.
Het wordt ontleed, maar niet gescheiden.
Het wordt altijd gegeten en raakt nooit op,
maar heiligt hen die eraan deelnemen.

d Vul, heer, de heilige kelk.

*De priester neemt het bovenste deel, met de letters IC, maakt ermee een kruisteken boven de heilige kelk en zegt, terwijl hij het in de heilige kelk doet:*

P Volheid van de Heilige Geest.

d Amen.

*Καὶ λαβὼν τὸ Ζέον, λέγει πρὸς τὸν ἱερέα:*
*Ὁ διάκονος·* Εὐλόγησον, δέσποτα, τὸ ζέον.

*Ὁ Ἱερεύς·* + Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ διάκονος ἐγχέει ἐκ τοῦ Ζέοντος τὸ ἀρκοῦν σταυροειδῶς ἐν τῷ ἁγίῳ Ποτηρίῳ, λέγων:*
*Ὁ Διάκονος·* Ζέσις πίστεως, Πνεύματος Ἁγίου. Ἀμήν.

*Ὁ δὲ Ἱερεύς καὶ ὁ διάκονος λέγουσιν εὐλαβῶς*

## τὰς Εὐχὰς τῆς ἁγίας Μεταλήψεως

*Ὁ Ἱερεύς·* Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν.
Πλαστουργὲ μὴ φλέξῃς με τῇ μετουσίᾳ.
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον.
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλίδος.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ

*De diaken brengt het hete water naar de priester.*

d Zegen, heer, het hete water.

P + Gezegend is de gloed van Uw heilige Gaven, immer, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*De diaken giet kruisgewijs voldoende heet water in de heilige kelk:*

D Gloed van geloof, vol van Heilige Geest. Amen.

*De priester en de diaken bidden aandachtig*

## de Communiegebeden[40]

P Ik geloof, Heer, en belijd, dat Gij waarlijk de Christus zijt, de Zoon van de levende God, in de wereld gekomen om zondaars, van wie ik de eerste ben, te verlossen. Ook geloof ik dat dit Uw vlekkeloos Lichaam is, en dat Uw kostbaar Bloed. Daarom bid ik U: ontferm U over mij en vergeef mij mijn zonden, die ik gewild en ongewild, in woord en daad, bewust en onbewust begaan heb. En acht mij waardig om zonder veroordeling deel te hebben aan Uw vlekkeloze Mysteriën, tot vergeving van zonden en tot eeuwig leven.

Zie, ik nader tot de goddelijke communie: Schepper, verzeng mij niet door deze deelname, want Gij zijt immers vuur, dat de onwaardigen verbrandt. Maar zuiver mij toch van elke smet.

Zoon van God, neem mij heden aan als deelgenoot van Uw mystiek Avondmaal: want Uw vijanden zal ik geenszins over dit Mysterie spreken, noch zal ik U een

Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου.

Θεουργὸν αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων·
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει·
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν Νυμφῶνα, ὁ χιτών με ἐλέγχει ὅτι οὔκ ἐστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀρραβῶνα τῆς μελλού-

kus geven zoals Judas, maar zoals de rover belijd ik U: gedenk mij, Heer, in Uw Koninkrijk.

Huiver, o mens, bij het zien van het vergoddelijkend Bloed. Het is immers vuur, dat de onwaardigen verbrandt. Het Lichaam van God vergoddelijkt en voedt mij: Het vergoddelijkt mij geest en voedt op wonderbare wijze mijn denken.

Gij bracht mij onder Uw bekoring, o Christus, door innig verlangen, en Gij veranderde mij door Uw goddelijke liefde. Verbrand nu met onstoffelijk vuur mijn zonden en maak mij waardig mij te laven aan Uw zoetheid, opdat ik jubelend Uw beide komsten moge verheerlijken, o Goede.

In de stralende luister van Uw heiligen, hoe kan ik, onwaardige, daarin binnentreden? Want als ik het waag mee naar binnen te gaan in de bruiloftszaal, maakt mijn kleed mij beschaamd, want het past niet bij een bruiloft, en geboeid zal ik door de engelen naar buiten worden geworpen. Reinig, Heer, de smetten van mijn ziel, en red mij als Menslievende.

Menslievende Meester, Heer Jezus Christus, mijn God, laten deze heilige Mysteriën mij niet tot een oordeel strekken, omdat ik onwaardig ben, maar tot reiniging en heiliging van ziel en lichaam en tot onderpand

σης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

*Τοῦ δείπνου σου...*

*Εἶτα, λαβὼν μίαν μερίδα τοῦ ἁγίου ἄρτου (ΧΣ), λέγει·*

*Ὁ Ἱερεύς·* Μεταδίδοταί μοι *(δεῖνι)* τῷ πρεσβυτέρῳ τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Καὶ μεγαλαμβάνει μετὰ φόβου καὶ πάσης ἀσφαλείας.*

*Ὁ ἱερεύς·* (Ἱερο)διάκονε, πρόσελθε.

*Ὁ διάκονος·* Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Ὁ ἱερεύς·* Μεταδίδοταί σοι *(δεῖνι)* τῷ (ἱερο)διακόνῳ τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Ὁ δὲ διάκονος λαμβάνει ἐν τῇ παλάμῃ τὸν ἅγιον Ἄρτον καὶ ἀπέρχεται ὄπισθεν τῆς ἁγίας Τραπέζης καὶ μεταλαμβάνει.*
*Εἶτα ὁ ἱερεὺς λαμβάνει τὸ ἅγιον Ποτήριον καὶ λέγει·*

van het komende leven en koninkrijk. Het is dus goed voor mij om mij vast te hechten aan God, en mijn hoop op verlossing te stellen op de Heer.

*En weer:* *Zoon van God ...*

*Dan neemt de priester een deel van het heilig Brood [XC], zeggend:*

P Het kostbaar en heilig Lichaam van onze Heer, God en Redder Jezus Christus wordt gegeven aan mij priester *(N.N.)* tot vergeving van mijn zonden en tot eeuwig leven.

*En hij nuttigt het heilig Brood zorgvuldig met vreze Gods.*

p (Hiëro-)Diaken, treed naderbij.

d Zie, ik nader tot Christus, onze onsterfelijke Koning en God. Geef mij, heer, het kostbaar en heilig Lichaam van onze Heer, God en Redder Jezus Christus, tot vergeving van mijn zonden en tot eeuwig leven.

p Het kostbaar en heilig Lichaam van onze Heer, God en Redder Jezus Christus wordt gegeven aan u, (hiëro)-diaken *(N.N.)* tot vergeving van uw zonden en tot eeuwig leven.

*De diaken ontvangt het heilig Brood op zijn hand, gaat naar de achterkant van het Altaar waar hij het nuttigt. Dan neemt de priester de heilige kelk op met de kelkdoek:*

*Ὁ Ἱερεύς·* Ἔτι μεταδίδοταί μοι *(δεῖνι)* τῷ πρεσβυτέρῳ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Καὶ μεγαλαμβάνει τρίτον ἐξ αὐτοῦ, ἀποσπογγίζων διὰ τοῦ ἐν χερσὶ καλύμματος τά τε ἴδια χείλη καὶ τὸ ἅγιον Ποτήριον, καὶ ἀσπασάμενος αὐτὸ λέγει·*

*Ὁ Ἱερεύς·* Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

*Καλεῖ δὲ τὸν διάκονον λέγων:*

*Ὁ ἱερεύς·* (Ἱερο)Διάκονε, ἔτι πρόσελθε.

*Ἐλθὼν δὲ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης σπογγίζει μετὰ τῆς Μούσης τὴν παλάμην αὐτοῦ ἐπὶ τοῦ ἁγίου Δίσκου, λέγων ἅμα:*

*Ὁ διάκονος·* Ἰδοὺ ἔτι προσέρχομαι. Μετάδος μοι δέσποτα, τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Καὶ ὁ ἱερεύς μεταδίδει αὐτῷ τρίτον ἐκ τοῦ ἁγίου Ποτηρίου, τοῦ διακόνου μόνου ὠθοῦντος τρὶς τὴν βάσιν τοῦ ἁγίου Ποτηρίου, λέγει:*

*Ὁ ἱερεύς·* Ἔτι μεταδίδοταί σοι *(δεῖνι)* τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Τοῦτο ἥψατο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

P Het kostbaar en heilig[41] Bloed van onze Heer, God en Redder Jezus Christus wordt gegeven aan mij, priester *(N.N.)* tot vergeving van mijn zonden en tot eeuwig leven.

*Hij drinkt driemaal, veegt met de doek zijn lippen af en de rand van de heilige kelk, kust deze en zegt:*

P Dit heeft mijn lippen aangeraakt, het neemt mijn ongerechtigheden weg en reinigt mij van mijn zonden.

p (Hiëro-)Diaken, treed nogmaals naderbij.

*Wanneer de diaken bij het Altaar komt, veegt hij met de spons zijn handpalm af boven de heilige diskos.*

d Zie, ik nader nogmaals. Geef mij, heer, het kostbaar en heilig[41] Bloed van onze Heer, God en Redder Jezus Christus, tot vergeving van mijn zonden en tot eeuwig leven.

*De priester laat hem driemaal drinken uit de heilige kelk, waarbij de diaken alleen drie maal de voet van de kelk voorzichtig iets beweegt.*

p Het kostbaar en heilig[41] Bloed van onze Heer, God en Redder Jezus Christus wordt gegeven aan u (Hiëro-) diaken *(N.N.)* tot vergeving van uw zonden en tot eeuwig leven. Amen.

p Zie, dit heeft uw lippen aangeraakt en neemt uw ongerechtigheden weg en reinigt u van uw zonden.

*Ὁ ἱερεὺς ἀποτίθησι τὸ ἅγιον Ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ.*

*Εἰ δὲ πολλοί εἰσιν οἱ βουλόμενοι κοινωνῆσαι, μελίζει ἐπὶ τὸν ἅγιον Δίσκον τὰς μερίδας τοῦ Ἀμνοῦ, ὁ δὲ διάκονος εἰσκομίζει αὐτὰς μὲ τὴν μοῦσαν ἐν τῷ ἁγίῳ Ποτηρίῳ. Εἶτα λέγει·*

*Μόνον εἰς ἣν περίπτωσιν οὐδεὶς ἤ ὀλίγοι εἰσὶν οἱ βουλόμενοι κοινωνῆσαι, οὐ μελίζει ὁ ἱερεὺς τὰς μερίδας τοῦ Ἀμνοῦ, ἀλλ᾽ὁ διάκονος εἰσκομίζει αὐτὰς μὲ τὴν μοῦσαν ἐν τῷ ἁγίῳ Ποτηρίῳ. Εἶτα εἰσκομίζει τὰς μερίδας τῶν ζώντων καὶ τῶν τεθνεώτων ἐν τῷ ἁγίῳ Ποτηρίῳ. Λέγει ἅμα καὶ τό:* Ἀπόπλυνον...
*Εἶτα λέγει·*

*Ὁ Διάκονος·* Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου Χριστὲ προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σύ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ· διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

*Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν καὶ ἀγάλλου Σιών, σὺ δὲ Ἁγνή, τέρπου, Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.*

*De priester zet de kelk neer op het altaar.*

*Als er communicanten zijn, verdeelt hij op de diskos de delen van het Lam en de diaken veegt deze met de spons in de Kelk.*

*Alleen indien er geen of weinig communicanten zijn, verdeelt de priester de delen van het Lam niet, de diaken veegt deze delen van het Lam met de spons in de kelk en vervolgens kunnen ook de gedachtenissen van de levenden en de overledenen in de kelk gedaan worden. Terwijl hij dit doet, zegt hij: D* *Wis, Heer ...*
*Daarna zegt hij:*

D Nu wij Christus' opstanding aanschouwd hebben, laat ons aanbidden de heilige Heer Jezus, Die alleen zonder zonde is. Uw kruis vereren wij, o Christus, en Uw heilige opstanding bezingen en verheerlijken wij. Want Gij zijt onze God, buiten U kennen wij geen andere, Uw Naam noemen wij. Komt alle gelovigen: laat ons aanbidden de heilige opstanding van Christus: want zie, door het kruis kwam er vreugde over de hele wereld. Altijd zegenen wij de Heer en bezingen wij Zijn opstanding, want om ons heeft Hij het kruis ondergaan, en de dood door Zijn dood vernietigd.

*Volgens ongeschreven traditie kan hij bijv. toevoegen*[42]

*Word verlicht, word verlicht, nieuw Jeruzalem, want de heerlijkheid des Heren is over u opgegaan. Dans nu en jubel, Sion. En gij, reine Moeder Gods, verheug u over de opwekking van uw Kind.*

*Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς· μεθ' ἡμῶν ἀψευδῶς γὰρ ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἣ οἱ πιστοὶ ἄγκυραν ἐλπίδος κατέχοντες ἀγαλλόμεθα.*

*Ὢ Πάσχα τὸ μέγα καὶ ἱερώτατον Χριστέ· ὢ σοφία καὶ Λόγε τοῦ Θεοῦ καὶ δύναμις· δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.*

*Καὶ ὁ διάκονος σκεπάζει τὸ ἅγιον ποτήριον διὰ τοῦ καλύμματος.*

*Μετὰ δὲ τὸ Ἀλληλούϊα τοῦ Κοινωνικοῦ, ὁ διάκονος λαμβάνει μετ' εὐλαβείας παρὰ τοῦ ἱερέως τὸ ἅγιον Ποτήριον κεκαλυμμένον, καὶ ἐξελθὼν εἰς τὴν ὡραίαν Πύλην καὶ ὑψῶν αὐτό, ἐκφωνεῖ·*

*Ὁ Διάκονος·* Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

*Ὁ λαός·* Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Ὁ ἱερεὺς μεταδιδοὺς τοῖς πιστοῖς ἐπὶ ἑκάστῳ λέγει·*

*Ὁ Ἱερεύς·* Ὁ δοῦλος τοῦ Θεοῦ *(δεῖνα)* μεταλαμβάνει τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*Ἤ·* Σῶμα καὶ αἷμα Χριστοῦ.

*Μετὰ δὲ τὸν τελευταίως μεταλαβόντα ἐπιλέγει·*

εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

*O, Uw goddelijke, Uw lieve, Uw allerzoetste stem: want Gij hebt vast beloofd met ons te zijn tot aan het einde der eeuwen, Christus: dit houden wij, gelovigen, vast, als een anker van hoop, en daarom jubelen wij.*

*O groot en allerheiligst pascha, Christus, Wijsheid, Woord Gods en kracht: geef ons nog intenser aan U deel te hebben in de avondloze dag van Uw koninkrijk.*

*De lepel wordt in de heilige kelk gezet, en de heilige kelk wordt met de communiedoek afgedekt.*[43]

*De heilige deuren worden geopend; de priester geeft de heilige kelk aan de diaken en deze wendt zich ermee tot het volk, zeggend:* [44]

D Nadert in vreze Gods, met geloof en met liefde!

K Gezegend Hij Die komt in de Naam des Heren, God is Heer, en Hij is ons verschenen.

*De diaken geeft de heilige kelk aan de priester terug, die de communie uitreikt, terwijl de diaken de kelkdoek vasthoudt onder de kin van de gelovige en de lippen afveegt.*

P De dienaar Gods *(N.N.)* ontvangt het kostbaar en alheilig Lichaam en Bloed van onze Heer, God en Redder Jezus Christus, tot vergeving van zonden en tot eeuwig leven.

*Of:* P Lichaam en Bloed van Christus,
*en bij de laatste communicant voegt hij toe*
tot vergeving van zonden en tot eeuwig leven.

*Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστοὺς ὁ χορὸς ψάλλει·*
*Τοῦ δείπνου σου τοῦ μυστικοῦ...*

*Μετὰ τὸ κοινωνῆσαι ὁ ἱερεύς·*
*Ὁ Ἱερεύς·* + Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

*Εἶτα ἀποθέτει τὸ ἅγιον Ποτήριον ἐπὶ τῆς ἁγίας Τραπέζης.*

*Ὁ λαός·* Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

*Εἰ αἱ μερίδαι τῶν ζώντων καὶ τεθνεώτων εὑρίσκονται ἔτι εἰς τὸν ἅγιον δίσκον, λαβὼν αὐτὸν ὁ διάκονος ἐπάνω τοῦ ἁγίου Ποτηρίου ἀποσπογγίζει αὐτάς μὲ τὴν μοῦσαν πάνυ καλῶς ἐν τῷ ἁγίῳ Ποτηρίῳ.*

*Ὁ διάκονος·* Ἀπόπλυνον, Κύριε, τὰ ἁμαρτήματα τῶν ἐνθάδε μνημονευθέντων δούλων σου τῷ αἵματί σου τῷ ἁγίῳ.

*Καὶ ὁ διάκονος τίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα ἐπὶ τοῦ ἁγίου δίσκου.*

*Ὁ διάκονος·* Ὕψωσον, δέσποτα.

*Ὁ ἱερεύς θυμιᾷ τρὶς καὶ λέγει ἠρέμα ἅπαξ·*
*Ὁ Ἱερεύς·* Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

K *Zoon van God ...*

*na de laatste communicant:*
K Alleluja, alleluja, alleluja.

*De priester zegent het volk, zeggend:*
P + Red, God, Uw volk en zegen Uw erfdeel.

*Daarna zet hij de heilige kelk op het Altaar.*

K Wij hebben het ware Licht aanschouwd, de hemelse Geest ontvangen, het ware geloof gevonden, wij aanbidden de ondeelbare Drie-eenheid, Die ons heeft gered.
*of: bij hoogfeesten het* ***feesttropaar****.*

*Indien de gedachtenissen nog op heilige diskos zijn, doet de diaken ze nu zorgvuldig met de spons in de kelk, zeggend:*

D Wis, Heer, door Uw kostbaar Bloed de zonden uit van de hier herdachte dienaren.[45]

*De diaken legt de opgevouwen velums en de ster op de heilige diskos.*

*De diaken geeft aan de priester het wierookvat:*
d Verhef, heer.

*De priester bewierookt driemaal de heilige kelk:*
P Wees verheven boven de hemelen, o God;
over heel de aarde zij Uw heerlijkheid.

*Καὶ ὁ μὲν διάκονος, λαβὼν παρὰ τοῦ ἱερέως τὸν ἅγιον Δίσκον σὺν τοῖς λοιποῖς, ἀπέρχεται εἰς τὴν ἁγίαν Πρόθεσιν καὶ ἀποθέτει αὐτά. Ὁ δὲ ἱερεύς, προσκυνήσας καὶ λαβὼν τὸ ἅγιον Ποτήριον ἐπικεκαλυμμένον, λέγει μυστικῶς πρὸ τῆς ἁγίας Τραπέζης:*

*Ὁ Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

*ἐκφώνως δὲ στρεφόμενος πρὸς τὸν λαόν·*

*Ὁ Ἱερεύς·* πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Καὶ ἀποτίθησι τὰ ἅγια ἐν τῇ ἁγίᾳ προθέσει, ὁ διάκονος θυμιᾷ αὐτὰ ψαλλομένου του·*

*Ὁ λαός·* Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως Κύριε, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

*Εἶτα ὁ διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·*

*Ὁ Διάκονος·* Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ Διάκονος·* Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

*Ὁ λαός·* Κύριε ἐλέησον.

*Hij geeft aan de diaken het wierookvat aan een vinger van zijn rechterhand en plaatst de heilige diskos met de velums en de ster er bovenop, op zijn hoofd. De diaken brengt deze naar de proskomidie. Zelf neemt de priester de heilige kelk op, [indien er geen diaken is, neemt de priester zelf de heilige diskos op en de heilige kelk] zacht zeggend:*

P Gezegend is onze God,

*Hierna roept hij naar het volk gewend:*

P immer, nu en altijd, en in de eeuwen der eeuwen.

*En hij brengt de heilige kelk naar de proskomidie-tafel, de diaken bewierookt de heilige kelk, terwijl het koor zingt:*

K Amen. Vervuld zij onze mond met Uw lof, o Heer, om Uw heerlijkheid te bezingen, want Gij hebt ons waardig geacht, deel te nemen aan Uw heilige, goddelijke, onsterflijke en levendmakende Mysteriën; bewaar ons in Uw heiliging, opdat wij de gehele dag Uw gerechtigheid overwegen. Alleluja, alleluja, alleluja.

*De diaken gaat naar zijn gewone plaats voor de litanie:*

## LITANIE

D Staat recht! Na onze deelname aan de goddelijke, heilige, alzuivere, onsterfelijke, hemelse en levendmakende, huiveringwekkende Mysteriën van Christus, laat ons de Heer op waardige wijze danken.

K Heer, ontferm U.

D Help en red ons, ontferm U en bescherm ons, o God, door Uw genade.

K Heer, ontferm U.

*Ὁ Διάκονος·* Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Ὁ λαός·* Σοί Κύριε.

*Ὁ ἱερεὺς διπλώσας τὸ εἰλητὸν ἐπεύχεται*

## τὴν Εὐχὴν μετὰ τὸ πάντας μεταλαβεῖν

*Ὁ Ἱερεύς·* Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου Μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργεσίᾳ, καὶ ἁγιασμῷ, καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Αὐτός, Δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου.

*Ἐκφώνως·* Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ταύτης τῆς ἐκφωνήσεως λεφομένης, λαμβάνει ὁ ἱερεὺς συγχρόνως τὸ ἅγιον Εὐαγγέλιον, ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου καὶ ἐπιτίθησιν αὐτὸ ἐπ᾽αὐτοῦ.*

D Vragend dat heel deze dag volmaakt, heilig, vredig en zonder zonde moge zijn, laten wij onszelf, elkaar en geheel ons leven toevertrouwen aan Christus onze God.

K Aan U, o Heer.

*De priester vouwt het antimension dicht, terwijl hij bidt het:*

### Gebed nadat allen hebben gecommuniceerd

P Wij danken U, Heer onze God, voor onze deelname aan Uw heilige, reine, onsterfelijke en hemelse Mysteriën, die Gij ons gegeven hebt voor het welzijn, de heiliging en de genezing van onze zielen en lichamen. Gij, Heer van het heelal, geef dat de gemeenschap met het heilig Lichaam en Bloed van Uw Christus, ons moge worden tot een geloof waarvoor we ons niet hoeven te schamen, tot ongeveinsde liefde, tot toename in wijsheid, tot genezing van ziel en lichaam, tot afweer van alle kwaad, tot het vervullen van Uw geboden, en tot een U welgevallige verantwoording voor de vreeswekkende rechterstoel van Uw Christus.

*luid* Want Gij zijt onze heiliging en tot U zenden wij de lof: tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

*Tijdens de uitroep neemt de priester het Evangelieboek op, maakt ermee een kruisteken boven het opgevouwen antimension en legt het erop.*

*Στραφεὶς δὲ πρὸς τὸν λαὸν ἐκφωνεῖ·*

*Ὁ Ἱερεύς·* Ἐν εἰρήνῃ προέλθωμεν.
*Ὁ λαός·* Ἐν ὀνόματι Κυρίου.

*Ὁ Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.
*Ὁ λαός·* Κύριε ἐλέησον.

*Ὁ ἱερεύς, ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ, ἀναγινώσκει τὴν ὀπισθάμβωνον εὐχήν. Ταύτης δὲ λεγομένης ὁ διάκονος ἵσταται πρὸς τὸ μέρος τὸ δεξιὸν τοῦ ἱερέως, τὴν κεφαλὴν ὑποκεκλιμένην. Τῆς εὐχῆς πληρωθείσης ὑποστρέφει εἰς τήν πρόθεσιν.*

## *η·* Ὀπισθάμβωνος Εὐχή

*Ὁ Ἱερεύς·* Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον, ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων. Καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Naar het volk gewend zegt hij:*

P Laat ons in vrede heengaan.
K In de Naam des Heren.

D Laat ons bidden tot de Heer.
K Heer, ontferm U.

*De priester leest voor de Christusikoon het gebed achter de ambon. De diaken staat rechts van de priester met gebogen hoofd. Hij luistert naar het gebed met zijn oraar in de hand. Na het gebed buigt hij naar de priester en gaat door de noorddeur naar de proskomidie.*

*ofwel dit:* GEBED ACHTER DE AMBON

P Heer, Die zegent wie U zegenen en heiligt wie op U vertrouwen, red Uw volk en zegen Uw erfdeel. Behoed heel Uw kerk. Heilig hen die de schoonheid van Uw huis liefhebben en verheerlijk hen daarvoor door Uw goddelijke kracht. Verlaat ons niet die op U hopen. Schenk vrede aan Uw wereld, aan Uw Kerken, aan de priesters, aan hen die ons regeren en aan heel Uw volk. Want elke goede gave en iedere volmaakte gift komt van boven en daalt neer van U, Vader der lichten; en tot U zenden wij de lof, dank en aanbidding, tot de Vader, de Zoon en de Heilige Geest, nu en altijd, en in de eeuwen der eeuwen.

*η·*

*Ὁ Ἱερεύς·* Ὁ θυσίαν αἰνέσεως καὶ λατρείαν εὐάρεστον, τὴν λογικὴν ταύτὴν καὶ ἀναίμακτον θυσίαν προσδεχόμενος παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ, Ἀμνὸς καὶ Υἱὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ μόσχος ὁ ἄμωμος, ὁ μὴ δεχόμενος ἁμαρτίας ζυγὸν καὶ τυθεὶς δι' ἡμᾶς ἑκών, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, τοὺς δὲ ἐσθίοντας ἁγιάζων, ὁ εἰς ἀνάμνησιν τοῦ ἑκουσίου Πάθους σου, καὶ τῆς ζωοποιοῦ τριημέρου Ἐγέρσεώς σου, κοινωνοὺς ἡμᾶς ἀναδείξας τῶν ἀρρήτων καὶ ἀναδείξας τῶν ἀρρήτων καὶ ἐπουρανίων καὶ φρικτῶν σου Μυστηρίων, τοῦ ἁγίου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος, τήρησον ἡμᾶς τοὺς δούλους σου, τοὺς διακόνους, τοὺς ἄρχοντας ἡμῶν, τὸν στρατόν, καὶ τὸν περιεστῶτα λαόν, ἐν τῷ σῷ ἁγιασμῷ. Καὶ δὸς ἡμῖν ἐν παντὶ χρόνῳ καὶ καιρῷ μελετᾶν τὴν σὴν δικαιοσύνην, ὅπως, πρὸς τὸ σὸν θέλημα ὁδηγηθέντες καὶ τὰ εὐάρεστά σοι ποιήσαντες, ἄξιοι γενώμεθα καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως, ὅταν ἐλεύσῃ κρῖναι ζῶντας καὶ νεκρούς, Τοὺς ἐν αἰχμαλωσίᾳ ἀδελφοὺς ἡμῶν ἀνάρρυσαι, τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, τοὺς ἐν κινδύνοις θαλάσσης κυβέρνησον, καὶ τὰς προαναπαυσαμένας ψυχὰς ἐπ' ἐλπίδι ζωῆς αἰωνίου ἀνάπαυσον, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ πάντων τῶν δεομένων τῆς σῆς βοηθείας ἐπάκουσον, ὅτι σὺ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ofwel, op 1 januari, dit:* **Gebed achter de ambon** *

P *Gij aanvaardt dit geestelijk en onbloedig offer als een offer van lof en een U welgevallige eredienst van hen die U aanroepen uit geheel hun hart, o Christus onze God, Lam en Zoon Gods, Die de zonde der wereld wegneemt, onbevlekt Kalf, dat het juk der zonde niet gedragen heeft en dat voor ons vrijwillig geslacht werd, dat ontleed wordt maar niet gescheiden, gegeten en nooit op raakt, Gij heiligt hen die het nuttigen. Ter gedachtenis aan Uw vrijwillig Lijden en Uw levendmakende opstanding na drie dagen hebt Gij ons deelachtig gemaakt aan Uw onzegbare, hemelse, huiveringwekkende Mysteriën van Uw heilig Lichaam en Uw kostbaar Bloed: Bewaar ons Uw dienaren, Uw diakens en het rondomstaande volk in Uw heiliging. Geef dat wij elk ogenblik en te allen tijde Uw gerechtigheid* [46] *overwegen, opdat wij, wanneer wij volgens Uw wil geleid worden, en doen wat U welgevallig is, waardig worden om te staan aan Uw rechterhand, wanneer Gij komt om levenden en doden te oordelen. Bevrijd onze gevangen broeders, bezoek de zieken, sta te roer bij hen die in gevaar verkeren op zee. Schenk rust aan de zielen die ons zijn voorafgegaan in de hoop op het eeuwige leven, daar waar het licht van Uw aanschijn straalt en verhoor allen die Uw hulp nodig hebben. Want Gij zijt de Gever van het goede, en tot U zenden wij de lof, evenals tot Uw beginloze Vader, en Uw alheilige, goede en levendmakende Geest; nu en altijd, en in de eeuwen der eeuwen.*

** Heer die zegent... , is het gebed van de Basilius-liturgie, dat is overgenomen in de Chrysostomus-liturgie.*

*Ὁ λαός·* Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος *(τρίς)*.

*Ὁ δὲ ἱερεὺς εἰσελθὼν διὰ τῆς ὡραίας πύλης, μεταβαίνει εἰς τὴν ἁγίαν Πρόθεσιν καὶ λέγει τὴν, ἐν τῷ συστεῖλαι τὰ ἅγια, εὐχήν·*

*Ὁ Ἱερεύς·* Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, Χριστέ, ὁ Θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας μυστήριον·ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην, εἴδομεν τῆς Ἀναστάσεώς σου τὸν τύπον, ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς, ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον, χάριτι τοῦ ἀνάρχου σου Πατρός, καὶ τοῦ ἁγίου καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ διάκονος συστέλλει τὰ ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας καὶ ἀπονίπτεται τὰς χεῖρας. Καὶ ἀπεκδύεται τὴν στολὴν αὐτοῦ καὶ προσκυνήσας ἀπέρχεται εὐχαριστῶν τῷ Θεῷ.*

K Amen.

*[Evt. kan nu een trisagion, of waterwijding worden gedaan.]*

K De Naam des Heren zij gezegend van nu af tot in eeuwigheid. *(3x)*

*De priester gaat door de heilige poort naar de proskomidie, en zegt zacht het gebed voor het nuttigen van de Gaven*

P Beëindigd en volbracht, Christus onze God, is het Mysterie van Uw heilseconomie, voor zover het in onze macht lag. Wij vierden de gedachtenis van Uw dood, wij hebben de afbeelding van Uw opstanding aanschouwd, wij zijn vervuld met Uw oneindig leven, en mochten Uw onvergankelijke vreugde smaken. Maak ons allen waardig om deze ook te ontvangen in de komende eeuwigheid. Door de genade van Uw beginloze Vader, en van Uw heilige, goede en levendmakende Geest, nu en altijd, en in de eeuwen der eeuwen. Amen.

*De diaken vraagt zegen en nuttigt met vreze Gods en grote aandacht de heilige Gaven, en hij wast zijn handen. Daarna trekt hij zijn gewaad uit, vereert en gaat, God dankend, heen.*

*Ὁ Ἱερεύς εὐλογῶν τὸν λαόν, λέγει·*

*Ὁ Ἱερεύς·* + Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Ὁ λαός·* Ἀμήν.

*Ὁ Ἱερεύς·*Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

*Ὁ ἀναγνώστης·* Δόξα Πατρί... Καὶ νῦν... Κύριε ἐλέησον *(γ)*. Δέσποτα ἅγιε, εὐλόγησον.

*Ὁ ἱερεύς ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ ποιεῖ τὴν μεγάλην ἀπόλυσιν·*

*Ὁ Ἱερεύς· (Ὁ ἀναστὰς ἐκ νεκρῶν)* *(η σελ. 162)*

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,
ταῖς πρεσβείαις τῆς παναχράντου
καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός·
δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ·
προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων·
ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου·
τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων·
τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων·
τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν,
τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρίας τοῦ Μεγάλου.
τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης,
τοῦ ἁγίου *(τῆς ἡμέρας - σελ. 164)*, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν,
καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Ὁ λαός·* Ἀμήν.

*De priester zegent het volk, vanuit de heilige poort:*

P + De zegen des Heren en Zijn ontferming kome over u, door Zijn genade en mensenliefde, immer, nu en altijd, en in de eeuwen der eeuwen.

K Amen.

P Eer aan u, o Christus God, onze hoop, eer aan U.

L Eer ... nu en ... Heer, ontferm U. *(3x)* Zegen.

*De priester komt door de heilige poort naar buiten voor de grote wegzending:*

P Dat Christus onze ware God,
*(Die opgestaan is uit de doden)* *(of evt. van het feest - zie p. 163)*
Zich over ons ontferme en ons redde;
door de voorspraak van Zijn ongerepte Moeder,
door de kracht van het kostbaar en levendmakend Kruis;
door de bescherming van de geëerde, hemelse, onlichamelijke krachten;
door de smeekbeden van de geëerde, roemrijke profeet, voorloper en doper Johannes[47];
van de heilige, roemrijke en alomgeprezen apostelen;
van de heilige, roemrijke zegevierende martelaren;
van onze gewijde en Goddragende vaders;
van onze heilige vader Basilius de Grote, aartsbisschop van Caesarea;
van de heilige rechtvaardige voorouders des Heren Joachim en Anna;
